EMANUELIS CHRYSOLORÆ BYSANTINI, ... GRÆCAE GRAMMATICÆ...

ManouL·l Chrysolōras,
Dominicus Sylvius

Digitized by Google

6
3-e
39

BIBLIOTECA NAZIONALE VITT. EMANUELE
6
1 B
20

M

Ex Bibliotheca
majori Coll. Rom.
Societ. Jesu

EMANVELIS

CHRYSOLORÆ BYSANTINI, VIRI DOCTISS. GRÆCÆ GRAMMATICÆ INSTITVTIONES.

Latina è regione oppoſita ſunt Græcis, ita ut uerſus uerſui, imò uerbum uerbo, quoad commodè fieri licuit, reſpondeat, Dominico Syluio interprete.

Concordia paruæ res creſcunt.



Τῇ ὁμονοίᾳ τὰ μικρὰ αὔξονται.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

VENETIIS. M D XLII.

6-1-B-20

INSIGNI ARTIVM LIBERALIVM, ac medicinæ doctori D. Gerardo Suberodio, ad diuum Petrum canonico Traiectenſi, Dominicus ſyluius. S. P. D.

Multis modis contenderunt à Chriſtiano Vuechelo haud aſpernando typographo uiri aliquot ſanè quàm eruditi, ut ἐρωτήματα illius Emanuelis Chryſoloræ ad recognitum exemplar caſtigata ſuis caſtis typis excuderet, neque ſineret optimum Grammaticum diutius neglectum iacere, quòd antè non niſi ſcabroſiſſime ſordidiſſimeq́; eſſet excuſus, illumq́; affirmabant, haud mediocre operæpretium rudioribus literarum Græcarum facturũ, ſi è regione Latina uerſio, ut in Theodoro Gaza factum uidemus, opponeretur, pollicenturq́; ne id illi fraudi eſſet ſe autorẽ hũc publicè prælecturos. Placuit cõſilium tũ Chriſtiano tum alijs quibuſdã neq; leuibus neq; uulgariter doctis amicis, præſertim Gerardo Morrhio Cãpenſi, ut ad me iretur, recuſantemq́; multis rationibus impellere ſunt conati, atq; in me laborem hũc uertendi transferre. Itaq; tandẽ ſuperatus ac uictus illorũ uoluntate, inuitus planè coactusq́; hanc prouinciã ſuſcepi. τί γὰρ ἂν καὶ πάθοι τις, ὅ πότε φίλοι ὄντες βιάζοιντο; Maluiſſem enim hoc otium inſumere in medicinam, cui me cæteris omiſſis rebus omnibus, unicè deuoui, ut eam totam decurrerem, in cuius ulteriori ſtadio iam conſiſto, cuiq́; hac uerſione ſcirem magnam me calamitatem illaturum. Quòd ſi nomini meo interpretatione aliqua uoluiſſem conſultũ, fuiſſet id prõptius atq; expeditius ex libro aliquo Galeni, idq́; non ſine magno

fructu ſtudiorum meorũ. Nam Grãmaticã uertere, po-
tiſſimum ut uerbum penè uerbo, uerſus uerſui reſpon-
deat, ut eſt ſine magna gloria opus, ita longè laborioſiſ
ſimum difficilimumq; ac faſtidii nauſeæq; plenum, et in
quo ſi paululum quid labaris (ut eſt præceps lapſus in
his minutijs, ad quæ cecutiret facile uel Lynceus uel Ar
gus quiſpiam) multũ eſt ubiq; naſi & cachinni. Adde
quod libens ſemper abſtinuerim & a Græca Gramma-
tica ſcribenda & uertenda, cũ habeam alioqui in eã rẽ
multa, non incommoda, ni fallor, futura ſtudioſis, cũq;
non ſemel eò me haud pauci amicorum ſint adhortati.
Eſt enim Grammaticarum Græcarum tum a Gręcis ho-
minibus tum a Romanis conſcriptarũ tanta copia, præ
terea tantus prouentus græce doctiſſimorũ uirorum, ut
tot a Latinis ſcriptæ græcæ Grammaticæ, aut latinita-
te donatæ, aut quæ quotidie à Græcè doctis prælegun-
tur, uel abundè ſatis eſſe queant. Verum quando uicit
ſemel improbum amicorum ſtudium, non eſt cur impen
ſæ hic operæ me pœniteat, tum ut hac qualiquali uer-
ſione, ac in græco opere ταῖς συζυγίαις explicatiori-
bus atq; toto libello caſtigatiori et nitidiori, ſtudioſis li
terarum græcarum cõmendaretur eruditiſſimus autor
ὃς πρῶτος ἐφύτευσε καὶ ἐδίδαξε ἐν ἰταλίᾳ τὰ ἑλ
ληνικὰ, ut in calce ſuę grammatices teſtatur Conſtan
tinus Laſcares, quæ iam ſeptingentos Italia annos exu
larant, teſte in ſua uita huius indefeſſo auditore Leo-
nardo Aretino, quiq; primus Grãmaticam Gręcã ſcri
bere eſt exorſus, neque id me tãtũ iudice, deus bone, qua
ſimplicitate, qua luciditate, quo cõpẽdio ac ordine, per
plexis interim comparationum, accentuum, ſpirituum,

aliiſq́; id genus nodis in calē operis relegatis, ἀλλ' οὐ τὸ βιβλίον οὐκ οἶδ' ὅπως τινὲς τῶν ἀμαθῶν συστείλαντες διέφθειραν, ut Coſtantinus Laſc. ait: tū ut te, qui iā ſat magnum gradum feciſti in Græcis (neque enim putabas te ad unguē pfectum medicū eſſe poſſe, niſi magno tuo ut fit, tædio, at non minori bono, Græca ſtudia capeſſeres, ut iam quoque uidere eſt bonā medicorum partem etiam ætate prouectorum literas Græcas amplecti) arbitrum atque adeò iudicem conſtituerem huius uerſionis, triuialis quidem, ſed quę non minus operæ requiſiuit, ne quid amplius addam, atque ſinuoſæ illæ, nimiſq́; anxiæ uerſiones, & num Chryſolora ſic utcunque uerſus auribus Latinis gratus eſſe, & græciſſimi uiri imaginē ſatis referre poſſet: utque tibi tandem leuidenſi munere at ab animo gratiſſimo profecto, de me in dies magis magiſq́; bene merenti, aliqua ex parte uicē aliquā, mutuumq́; officium reponerem. Accipe igitur uir doctiſſime idemq́; optime, haud grauatim hanc, quam tuo nomini operam adſcribo dedicoq́;. Quod ſi, ut ſat ſcio, ſenſero hunc laborem meum tibi non ingratum fuiſſe, tuis auſpiciis incipiam dare uela in altum, tentareq́; nō nihil Galeni aut Hippocratis, tum tibi gratificaturus, tū cæteris medicis, in primis D. Ioachimo Rolando Mechlinięſi, & D. Ioāni ab Hortis qui me nuper mihi ſtudiiſq́; reddidit, febricula uno tēporis puncto iugulata. Vale uir doctiſſime ac patrone ſingularis. Lutetiæ. 4. Idus Auguſti, Anno 1534. Salutabis ex me D. Ioannem Martinum, uirum, ſi quis alius uſquam, ut doctiſs. ita optimum integerrimumq́;.

ΕΡΩΤΗΜΑ

ΤΑ ΤΟΥ ΧΡΥΣΟΛΩΡΑ.

Σ πόσα διαιροῦνται τὰ εἰκοσιτέσσαρα γράμματα, ἃ καὶ στοιχεῖα λέγονται; εἰς δύω, εἰς φωνήεντα καὶ εἰς σύμφωνα.

πόσα φωνήεντα; ἑπτὰ, α, ε, η, ι, υ ψιλὸν, ο μικρὸν, καὶ ω μέγα. εἰς πόσα διαιροῦνται τὰ ἑπτὰ φωνήεντα; εἰς μακρὰ, εἰς βραχέα, καὶ εἰς δίχρονα. πόσα μακρά; δύο, η, καὶ ω, μέγα. πόσα βραχέα; δύο, ε, ψιλὸν, καὶ ο, μικρόν. πόσα δίχρονα; τρία, α, ι, υ. πόσαι δίφθογγοι κυρίως; ἕξ, αι, αυ, ει, ευ, οι, ου. εἰσὶ καὶ ἄλλαι δίφθογγοι πέντε, καταχρηστικῶς λεγόμεναι. ᾳ, ῃ, ηυ, υι, ῳ. πόσα σύμφωνα; δεκαεπτὰ, β, γ, δ, ζ, θ, κ, λ, μ, ν, ξ, π, ρ, σ, τ, φ, χ, ψ, εἰς πόσα διαιροῦνται τὰ δεκαεπτὰ σύμφωνα; εἰς δύο, εἰς ἡμίφωνα καὶ ἄφωνα. πόσα ἡμίφωνα; ὀκτὼ, ζ, ξ, ψ, λ, μ, ν, ρ, σ, εἰς πόσα διαιροῦνται τὰ ὀκτὼ ἡμίφωνα; εἰς τρία, εἰς διπλᾶ, εἰς ἀμετάβολα, καὶ εἰς τὸ σίγμα. πόσα διπλᾶ; τρία, ζ, ξ, ψ. πόσα ἀμετάβολα; τέσσαρα, ἃ καὶ ὑγρὰ λέγονται, λ, μ, ν, ρ. πόσα ἄφωνα; ἐννέα, β, γ, δ, κ, π, τ, θ, φ, χ. εἰς πόσα διαιροῦνται τὰ ἐννέα ἄφωνα; εἰς τρία, εἰς ψιλὰ, εἰς δασέα καὶ εἰς μέσα. πόσα ψιλά; τρία, κ, π, τ, πόσα δα-

EMANVELIS CHRYSOLORÆ QVÆSTIONES GRAMMATICÆ.

i N quot diuiduntur uiginti quatuor literæ, quæ & elementa dicuntur? In duo, in uocales, & in conſonantes.

Quot uocales? Septem, α,ε,η,ι,υ tenue,ο paruum,& ω magnum. In quot diuiduntur ſeptem uocales? In longas, in breues & in ancipites. Quot ſunt longæ? Duæ,η & ω magnum. Quot brues? duæ,ε tenue,& ο paruum. Quod ancipites? tres,α,ι,υ. Quot diphthō. propriè dictæ? ſex, αι, αυ,ει,ευ,οι,ου. Sunt & aliæ diphthongi quinq;, impropriè dictæ, ᾳ,ῃ,ηυ,υι,ῳ. Quod ſunt conſonantes? 17, β,γ,δ,ζ,θ,κ,λ,μ,ν,ξ,π,ρ,σ,τ,φ,χ,ψ. In quot diuiduntur decem & ſeptem conſonantes? In duo, in ſemicouales & mutas. Quot ſemiuocales? octo, ζ,ξ,ψ,λ,μ,ν,ρ,σ. In quot diuiduntur octo ſemiuocales? in tria, in duplices, in immutabiles, & in σ. Quod duplices? tres,ζ,ξ,ψ. Quot immutabiles? quatuor, quæ & liquidæ dicūtur,λ,μ,ν,ρ. Quot mutæ? nouem,β,γ,δ,κ,π,τ,θ,φ,χ. In quot diuiduntur nouem mutæ? in tria, in tenues, in denſas, & in medias. Quot tenues? tres,κ,π,τ. Quot den=

σέα; τρία, θ, φ, χ. πόσα μέσα; τρία, β, γ, δ, ἀντιστοιχεῖ δὲ τὰ δασέα τοῖς ψιλοῖς, τὸ μὲν, φ, τῷ, π. τὸ δὲ, χ. τῷ κ, τὸ δὲ θ. τῷ τ.

καὶ ἔστι τὸ μὲν β, μέσον τοῦ π, καὶ φ, τὸ δὲ γ, μέσον τοῦ κ, καὶ χ. τὸ δὲ δ, μέσον τοῦ θ, καὶ τ.

περὶ συλλαβῆς.

τί ἐστι συλλαβή; συνέλευσις τοὐλάχιστον δύο γραμμάτων καταχρηστικῶς δὲ καὶ αἱ μονογράμματοι συλλαβαὶ λέγονται, οἷον, α, ε. εἰς πόσα διαιρεῖται ἡ συλλαβή; εἰς τρία, εἰς μακρὰν, εἰς βραχεῖαν, καὶ εἰς κοινήν. ποσαχῶς λέγεται ἡ μακρὰ συλλαβή; διχῶς, ἢ γὰρ φύσει ἢ θέσει. φύσει μὲν, ὁπόταν ἓν τῶν μακρῶν φωνηέντων, ἢ δίφθογγον, ἢ ἓν τῶν διχρόνων ἐκτεταμένον ἔχῃ. θέσει δὲ ὅταν μετὰ τὸ ἐν αὐτῇ φύσει βραχὺ φωνῆεν, δύο σύμφωνα ὁπωσοῦν ἐπιφέρηται, πλὴν ἀφώνου πρὸ μεταβολοῦ. τότε γὰρ κοινὴ γίνεται, δυναμένη μακρὰ εἶναι ἡ αὐτὴ καὶ βραχεῖα.

περὶ λέξεως.

τί ἐστι λέξις; μέρος σημαντικὸν ἐλάχιστον τοῦ κατὰ σύνταξιν λόγου.

περὶ προσῳδιῶν.

πόσαι προσῳδίαι; δέκα, ὀξεῖα ´, βαρεῖα `, περισπωμένη ~, μακρὰ ¯, βραχεῖα ˘. δασεῖα ῾, ψιλὴ ᾿, ἀπόστροφος ’, ὑφὲν ‿, καὶ ὑποδιαστολή, . εἰς πόσα διαιροῦνται αἱ δέκα προσῳδίαι; εἰς τέσσαρα, εἰς τόνους, εἰς χρόνους, εἰς πνεύματα, καὶ εἰς πάθη.

πόσοι τόνοι; τρεῖς, ὀξεῖα, βαρεῖα, καὶ περισπωμένη.

ſæ? tres, θ, φ, χ. Quot mediæ? tres, β, γ, δ. Opponuntur autem denſæ tenuibus, φ quidem π: χ uero κ: θ autem τ.

Et eſt quidem β media inter π & φ: γ uero media inter κ & χ. δ autem media inter θ & τ.

De ſyllaba.

Quid eſt ſyllaba? coitio ut minimum duarum literarum. Impropriè autem & quæ ſunt unius literæ, ſyllabæ dicuntur, ut α, ε. In quot diuiditur ſyllaba? in tria, in longam, in breuem, & in communem. Quot modis dicitur ſyllaba longa? duobus, aut enim natura aut poſitu. Natura quidē, quādo unā longarū uocaliū, aut diphth. aut unā ancipitium extenſam habet, poſitu uerò, cum poſt unā, que eſt in ipſa ſyllaba, natura breuē uocalē duæ conſonantes quoquo modo inſequantur, præter mutam ante immutabilem. Tunc enim communis eſt, cum poſſet eadem longa eſſe & breuis.

De dictione,

Quid eſt dictio? pars ſignificatiua minima orationis conſtructæ.

De accentibus.

Quot ſunt accentus? Decem, acutus ΄, grauis ̀, circuunflexus ῀, longus ¯, breuis ˘, denſus ῾, tenuis ᾿, auerſio ’, ſubunio ‿, & diſtinctio, . In quot diuiduntur decem accentus? in quatuor, in tonos, in tempora, in ſpiritus & in paſſiones.

Quot toni? tres, accentus acutus, grauis, & circunflexus.

σημείωσαι ὅτι οἱ μὲν τόποι τῆς ὀξείας, τρεῖς εἰσίν, ἡ λήγουσα, παραλήγουσα, καὶ ἡ προπαραλήγουσα. τῆς δὲ βαρείας τόπος, ἡ λήγουσα. τῆς δὲ περισπωμένης, ἡ λήγουσα, καὶ ἡ παραλήγουσα.

ἔτι σημείωσαι ὅτι τὸ ἐπὶ τῆς ληγούσης ἔχον τὴν ὀξεῖαν ἢ τὴν βαρεῖαν, ὀξύτονον καλεῖται. τὸ δ' ἐπὶ τῆς παραληγούσης ἔχον τὴν ὀξεῖαν, παροξύτονον καὶ βαρύτονον. τὸ δὲ ἐπὶ τῆς προπαραληγούσης, προπαροξύτονον καὶ βαρύτονον. ἔτι τὸ τὴν περισπωμένην ἔχον ἐπὶ μὲν τῆς ληγούσης, περισπώμενον. ἐπὶ δὲ τῆς παραληγούσης, βαρύτονον καὶ περισπώμενον.

σημείωσαι ὅτι μακρᾶς οὔσης ἐπὶ τέλους, οὐ δύναται προπαροξυνθῆναι λέξις.

πρὸ δύο συλλαβῶν, ἢ ἔστι τόνος, περισπωμένη οὐ τίθεται, ὀξεῖα δὲ ἀεί. ἐπάνω θέσει μακρᾶς περισπωμένη οὐ τίθεται, ὀξεῖα δὲ ἀεί. μακρὰ πρὸ μακρᾶς οὐ περισπᾶται, ὀξεῖαν δὲ ἔχει ἀεί. πᾶσα δὲ φύσει μακρὰ πρὸ βραχείας ληκτικῆς, ἐν ἑνὶ μέρει λόγου οὖσα, καὶ ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον, περισπᾶται.

πόσοι χρόνοι; δύο, ἡ μακρὰ, καὶ ἡ βραχεῖα.

πόσα πνεύματα; δύο, ἡ δασεῖα καὶ ἡ ψιλή. ποῖος ἐστὶ τῶν πνευμάτων τόπος; πάντα τὰ ἀρκτικὰ μόνα τῶν λέξεων φωνήεντα, καὶ τῶν συμφώνων μόνον τὸ ρ. ἐν ἀρχαῖς λέξεων εὑρισκόμενον. πόσα πάθη; τρία, ἡ ἀπόστροφος, ἡ ὑφὲν, καὶ ἡ ὑποδιαστολή.

Nota quòd ſedes quidem acuti tres ſunt, ultima, penultima, & antepenultima. grauis autem locus, eſt ultima, circumflexi ultima & penultima.

Præterea nota quòd in ultima habens acutum aut grauem, acutitonum uocatur: habens uerò in penultima acutum, penacutum, & grauitonum: habens autem in antepenultima, antepenacutum & grauitonum.

Ad hæc, habens circunflexum in ultima quidem, circunflexum, in penultima uerò, grauitonum & circunflexum.

Nota quòd ubi longa fuerit in fine, non poteſt in antepenultima acui dictio.

Ante duas ſyllabas ſi ſit tonus, circunflexus non ponitur, acutus autem ſemper. Supra poſitu longam circunflexus non ponitur, acutus autem ſemper. Longa ante longam non circunflectitur, acutum autem habet ſemper. Omnis uerò natura longa, ante breuem ultimam in una parte orationis, & in ſe habens tonum, circunflectitur.

Quot ſunt tempora? duo, longum & breue. Quot ſpiritus? duo, denſus & tenuis. Quæ eſt ſpirituum ſedes? Omnes primæ ſolæ dictionum uocales, & conſonantium ſola ρ, in initio dictionum reperta. Quot ſunt paſſiones? tres, auerſio, ſubunio, & diſtinctio.

περὶ λόγου.

τί ἐστι λόγος; λέξεων σύνθεσις, διάνοιαν αὐτοτελῆ δηλοῦσα. πόσα μέρη τοῦ λόγου; ὀκτώ, ὄνομα, ῥῆμα, μετοχή, ἄρθρον, ἀντωνυμία, πρόθεσις ἐπίρρημα, σύνδεσμος.

περὶ ὀνόματος.

πόσα παρέπεται τῷ ὀνόματι; πέντε, γένη, εἴδη, σχήματα, ἀριθμοί, πτώσεις.

πόσα γένη; τρία, ἀρσενικόν, θηλυκόν, καὶ οὐδέτερον.

τί ἐστι ἀρσενικὸν γένος; οὗ προτάσσεται κατ' εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν ἄρθρον τὸ, ὁ, οἷον ὁ αἴας.

τί ἐστι θηλυκὸν γένος; οὗ προτάσσεται κατ' εὐθεῖαν ἑνικὴν πτῶσιν ἄρθρον τὸ, ἡ, οἷον ἡ μοῦσα.

τί ἐστιν οὐδέτερον γένος; οὗ προτάσσεται κατ' εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν ἄρθρον τὸ, τὸ, οἷον τὸ βῆμα.

πόσα εἴδη; δύο, πρωτότυπον καὶ παράγωγον.

πόσα σχήματα; τρία, ἁπλοῦν, σύνθετον, παρασύνθετον.

πόσοι ἀριθμοὶ; τρεῖς, ἑνικός, δυϊκός, καὶ πληθυντικός.

πόσαι πτώσεις; πέντε, ὀρθή, ἡ καὶ εὐθεῖα λέγεται, γενική, δοτική, αἰτιατική, καὶ κλητική.

περὶ ἄρθρων.

τῶν ἄρθρων, τὰ μὲν προτακτικά, τὰ δὲ ὑποτακτικά. προτακτικὰ μὲν ἀρσενικά εἰσι ταῦτα, ἑνικά, ἡ εὐθεῖα, ὁ. ἡ γενική, τοῦ. ἡ δοτική, τῷ.

De oratione.

Quid eſt oratio? dictionum compoſitio ſententiam perfectam explicans. Quot ſunt partes orationis? octo, nomen, uerbum, participium, articulus, pronomen, præpoſitio, aduerbium, coniunctio.

De nomine.

Quot accidunt Nomini? quinque, genera, ſpecies, figurę, numeri, caſus.

Quot ſunt genera? tria, Maſculinum, Fœmini. & neutrũ.

Quid eſt maſculinum genus? Cui præponitur in Nominatiuo & ſingulari caſu articulus ὁ, ut ὁ αἴας.

Quid eſt fœmininũ genus? Cui præponitur in Nominatiuo & ſingulari caſu articulus ἡ, ut ἡ μοῦσα.

Quid eſt neutrum genus? Cui præponitur in Nominatiuo & ſingulari caſu articulus τὸ, ut τὸ ῥῆμα.

Quot ſunt ſpecies? Duæ, primitiua & deriuatiua.

Quot figuræ? Tres, ſimplex, compoſita & decompoſita.

Quot numeri? Tres, ſingularis, dualis, & pluralis.

Quot caſus? quinque nominatiuum qui & rectus dicitur, genitiuus, datiuus, accuſatiuus, & uocatiuus.

De articulis.

Articulorum alij quidem præpoſitiui, alii uero poſt poſitiui. Prepoſitiui quidem maſculini ſunt hi, Singularia, Nominati. ὁ. Genitius, τοῦ. Datiuus τῷ.

ἡ αἰτιατική, τόν. δυϊκά, ἡ εὐθεῖα καὶ αἰτιατική, τώ. ἡ γενικὴ καὶ δοτική, τοῖν. πληθυντικά, ἡ εὐθεῖα, οἱ. ἡ γενική, τῶν. ἡ δοτική, τοῖς. ἡ αἰτιατική, τούς.

ὑποτακτικὰ δὲ ἀρσενικὰ ταῦτα. ὅς, οὗ, ᾧ, ὅν. δυϊκά, ὥ, οἷν. πληθυντικά, οἵ, ὧν, οἷς, οὕς.

ἄρθρα θηλυκὰ προτακτικά.

ἑνικά, ἡ, τῆς, τῇ, τήν. δυϊκά, τὰ ταῖν. πληθυντικά, αἱ, τῶν, ταῖς, τάς. ὑποτακτικά.

ἑνικά, ἥ, ἧς, ᾗ, ἥν. δυϊκά, ἅ. αἷν. πληθυντικά, αἵ, ὧν. αἷς, ἅς.

ἄρθρα δὲ οὐδέτερα προτακτικά.

ἑνικά, τό, τοῦ, τῷ, τό. δυϊκά, τώ, τοῖν. πληθυντικά, τά, τῶν, τοῖς, τά. ὑποτακτικά.

ἑνικά, ὅ, οὗ, ᾧ, ὅ. δυϊκά, ὥ, οἷν. πληθυντικά, ἅ, ὧν, οἷς, ἅ, κλητικὸν δὲ ἐπίρρημα ἐν πᾶσι τοῖς γένεσι καὶ ἐν πᾶσι τοῖς ἀριθμοῖς ὁμοίως τὸ ὦ.

κλήσις τῶν ὀνομάτων.

τῶν ὀνομάτων, τὰ μὲν κλίνονται ἰσοσυλλάβως, οἷον αἰνείας, αἰνείου. τὰ δὲ περιττοσυλλάβως οἷον αἴας αἴαντος. ὥστε καλείσθω ἡ μὲν κλίσις, ἰσοσύλλαβος. ἡ δὲ περιττοσύλλαβος.

αἱ κλίσεις αἱ ἰσοσύλλαβοι τέσσαρές εἰσιν, ὧν ἡ πρώτη ἐστὶν ἐν τοῖς ἀρσενικοῖς μόνοις, δηλονότι τινῶν τῶν εἰς ας, ἢ εἰς ης, διὰ τοῦ η, ληγόντων ἀρσενικῶν ὀνομάτων. ὧν ἡ γενικὴ εἰς ου, ἡ δοτικὴ εἰς τὸ τῆς εὐθείας τελικὸν φωνῆεν, καὶ αἰτιατικὴ εἰς ν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας λήγει, ὃ κοινόν ἐστι πασῶν τῶν ἰσοσυλλάβων κλίσεων.

Accuſatiuus, τὸ. Dual. Nominatiuus & accuſatiuus. τὼ Genitiuus & Datiuus, τοῖν. Pluralia, Nominatiuus, οἱ. Genitiuus τῶν. Datiuus τοῖς. Accuſatiuus, τούς.

Poſtpoſitiui uero maſculini hi, qui, cuius, cui, quem. Du. qui, quorũ, & quibus. Plu. qui, quorũ, quibus, quos.

Articuli fœminini præpoſitiui.

Singularia, ἡ, τῆς, τῇ, τὴν. Dual. τὰ. ταῖν. Plural. αἱ, τῶν, ταῖς, τάς. Subiunctiui.

Singu. quæ, cuius, cui, quam. D. quæ, quarum, & quibus. Plur. quæ, quarum, quibus, quas.

Articuli neutri præpoſitiui.

Singular. τὸ, τοῦ, τῷ, τό. Dual. τὼ, τοῖν. Pluralia, τὰ, τῶν, τοῖς, τά. Subiunctiui.

Sin. quod, cuius, cui, quod. D. quæ, quorũ, & quibus. Pl. quæ, quorum, quibus, quæ. Vocatiuum autẽ aduerbiũ in omnibus numeris ſimiliter eſt ὦ.

Nominum declinatio.

Nominum quædam declinantur æquiſyllabicè, ut Æneas æneæ, quędam inequiſyllabicè, ut Aiax Aiacis. Igitur uocetur hæc quidem æquiſyllaba, illa uerò inæquiſyllaba.

Declinationes æquiſyllabæ quatuor ſunt, quarum prima eſt in maſculinis ſolis, uidelicet quorundam in ας aut in ης per η deſinentium maſculinorum nominum, quorum genitiuus in ου, datiuus in ι recti ultimam uocalem, & accuſatiuus in ν cum uocali recti deſinit, quod commune eſt omnibus æquiſyllabis declinationibus.

ἡ ὀρθὴ καὶ εὐθεῖα τῶν ἑνικῶν, ὁ αἰνείας. ἡ γενική, τοῦ αἰνείου. ἡ δοτική, τῷ αἰνείᾳ. ἡ αἰτιατική, τὸν αἰνείαν. ἡ κλητική, ὦ αἰνεία καὶ ὦ αἰνείας.
ἡ εὐθεῖα καὶ αἰτιατικὴ τῶν δυϊκῶν, τοῖν αἰνεία. ἡ γενική, καὶ δοτικὴ τῶν δυϊκῶν, τὼ αἰνέαιν. ἡ κλητική, ὦ αἰνέα.
ἡ εὐθεῖα τῶν πληθυντικῶν, οἱ αἰνεῖαι. ἡ γενική, τῶν αἰνειῶν. ἡ δοτική, τοῖς αἰνείαις. ἡ αἰτιατική τὰς αἰνείας. ἡ κλητική, ὦ αἰνεῖαι.

ὁ χρύσης, τοῦ χρύσου, τῷ χρύσῃ, τὸν χρύσην, ὦ χρύση καὶ ὦ χρύσης. δυϊκά, τὼ χρύσα, τοῖν χρύσαιν, ὦ χρύσα. πληθυντικά, οἱ χρύσαι, τῶν χρυσῶν τοῖς χρύσαις, τὰς χρύσας, ὦ χρύσαι.

ὁ προφήτης, τοῦ προφήτου, τῷ προφήτῃ, τὸν προφήτην, ὦ προφῆτα καὶ ὦ προφήτης. τὼ προφήτα, τοῖν προφήταιν, ὦ προφήτα. οἱ προφῆται τῶν προφητῶν, τοῖς προφήταις, τὰς προφήτας, ὦ προφῆται.

σημείωσαι καὶ ἐπὶ ταύτης τῆς κλίσεως, καὶ καθόλου, ὅτι οἱ αἰτιατικοὶ τὰς αὐτὰς ἔχουσιν ὀρθάς, καὶ κλητικάς.

ἔτι ἰστέον ὅτι ἡ γενικὴ τῶν πληθυντικῶν ταύτης τῆς πρώτης, ὁμοίως καὶ τῆς δευτέρας κλίσεως περισπᾶται ἐπὶ τῆς ληγούσης. σημείωσαι ὅτι εἰς ης λήγοντα ὀνόματα ταύτης τῆς κλίσεως ἢ παρὰ ῥῆμα εἴη, ἢ τὸ τ ἔχῃ, ἢ ἐθνικὰ εἴη, εἰς α ποιεῖ τὴν κλητικήν. οἷον προφήτης ὦ προφῆτα. πολίτης ὦ πολῖτα. πέρσης, ὦ πέρσα.

δευτέρα κλίσις.

δευτέρα κλίσις τῶν ἰσοσυλλάβων, ἐν τοῖς θηλυκοῖς,

Nominatiuus Singularis, Æneas. Geniti. Æneæ. Datiuus Æneæ. Accuſatiuus Æneam. Vocatiuus ò Ænea & Æneas.

Nominatiuus & Accuſatiuus dualis Æneæ. Genitiuus & Datiuus dualis, Ænearum & Æneis. Vocatiuns ò Æneæ.

Rectus pluralis, Æneæ. Genitiuus Ænearum. Datiuus Æneis. Accuſatiuus Æneas. Vocatiuus ò Æneæ.

Chryſes, chryſæ, chryſæ, chryſen, ò chryſe & chryſes. Dualis chryſæ, chryſarum & chryſis, ò chryſæ. Pluralis chryſæ, chryſarum, chryſis, chryſas, ò chryſæ.

Propheta, prophetæ, prophetæ, prophetam, ò propheta. Dualis, prophetæ, prophetarum, & prophetis, ò prophetæ. Pluralis, prophetæ, prophetarum, prophetis, prophetas, ò prophetæ.

Nota & in hac declinatione, & in uniuerſum, quòd Attici eoſdem habent Nominatiuos & Vocatiuos.

Præterea ſciendum, quod Genitiuus pluralium huius primæ pariter & ſecunde declinationis circunflectitur in ultima. Nota quòd in ης deſinentia nomina huius declinationis ſi à uerbo ſint, aut τ habeant, in α faciunt Vocatiuum, ut propheta ò propheta, ciuis ò ciuis, perſes ò perſa.

Secunda declinatio.

Secunda declinatio æquiſyllabarum in Fœmini

λυκοῖς, καὶ ἀεὶ ἰσοσύλλαβος, δηλονότι πάντων, τῶν εἰς α· ἢ εἰς η, ληγόντων θηλυκῶν ὀνομάτων, ὧν ἡ γενικὴ, εἰς ας, ἢ εἰς ης· καὶ ἡ δοτικὴ, εἰς ᾳ, ἢ εἰς ῃ· καὶ ἡ αἰτιατικὴ, εἰς ν, μετὰ τοῦ φωνήεντος τῆς εὐθείας λήγει.

ἡ μαῖα, τῆς μαίας, τῇ μαίᾳ, τὴν μαῖαν, ὦ μαῖα· τὼ μαία, τοῖν μαίαιν, ὦ μαία· αἱ μαῖαι, τῶν μαιῶν, ταῖς μαίαις, τὰς μαίας· ὦ μαῖαι.

ἡ μοῦσα, τῆς μούσης, τῇ μούσῃ, τὴν μοῦσαν, ὦ μοῦσα· τὼ μούσα, τοῖν μούσαιν, ὦ μούσα. αἱ μοῦσαι, τῶν μουσῶν, ταῖς μούσαις, τὰς μούσας, ὦ μοῦσαι.

ἡ τιμὴ, τῆς τιμῆς, τῇ τιμῇ, τὴν, τιμὴν, ὦ τιμή· τὼ τιμὰ, τοῖν τιμαῖν, ὦ τιμά· αἱ τιμαὶ, τῶν τιμῶν, ταῖς τιμαῖς, τὰς τιμὰς, ὦ τιμαί.

σημείωσαι ἐπὶ ταύτης τῆς δευτέρας κλίσεως, ὅσα μὲν καθαρὸν ἔχει τὸ α, ἢ μετὰ τοῦ ρ, τηρεῖ αὐτὸ τὸ α· καὶ ἐπὶ γενικῆς· οἷον μαῖα μαίας· ἡμέρα ἡμέρας. ὅσα δὲ πρὸ τοῦ α σύμφωνον ἄλλο ἔχει, εἰ μὲν δ, ἢ θ εἴη. εἰς ας ποιεῖ τὴν γενικὴν, λήδα λήδας κισσαίθα κισσαίθας· εἰ δὲ ἄλλο σύμφωνον ἔχει, εἰς η, αὐτὸ τὸ α, τρέπει, οἷον μοῦσα μούσης, δίψα δίψης· γλῶττα γλώττης, θάλασσα θαλάσσης.

τρίτη κλίσις τῶν ὀνομάτων ἐστὶν ἐν τοῖς ἀρσενικοῖς καὶ θηλυκοῖς καὶ οὐδετέροις, καὶ ἀεὶ ἰσοσύλλαβος, δηλονότι τινῶν τῶν εἰς ως· διὰ τοῦ ω μεγάλου ληγόντων ἀρσενικῶν καὶ θηλυκῶν, καὶ τῶν εἰς ων, ληγόντων διὰ τοῦ ω μεγάλου οὐδετέρων, ὧν ἡ γενικὴ, καὶ δοτικὴ εἰς ω μέγα, καὶ ἡ αἰτιατικὴ εἰς ων μέγα,

nis & ipſa æquiſyllaba, uidelicet omnium in α aut in η deſinentium fœmininorum nominum, quorum genitiuus in ας uel in ης, & datiuus in ᾳ uel ῃ, & acuſatiuus in ν cum uocali Nominatiui deſinit.

Maia,maiæ,maiæ,maian,ò maia. Dualis, *Maiæ maiarum,& maiis,ò maiæ.* Pluralis,*Maiæ,maiarum. maiis,maias,ò maiæ.*

Muſa,muſæ,muſæ,muſan,ò muſa,
Dualis, *muſæ muſarum, & muſis, ò muſę.* Pluralis, *muſę, muſarum, muſis muſas, ò muſę.*

Honor,*honoris,honori,honorem,ò honor.* Dual. *honores,honorum,& honoribus, ò honores.* Plural. *honores,honorum,honoribus,honores,ò honores.*

Nota *in hac ſecunda declinatione, quæ quidem purum habent α, aut cum ρ ſeruant ipſum α etiam in* Genitiuo,*ut maia maię,dies diei.*

Quę *uerò ante α conſonantem aliam habent, ſi quidem δ aut θ fuerit, in ας faciunt genitiuum, leda ledæ, nomen capræ.* Si *uero aliam conſonantem habent, in η ipſum α mutant,ut muſa muſæ, ſitis, ſitis, lingua lingue,mare maris.*

Tertia *declinatio nominis eſt in maſculinis & fœmininis & neutris,etiam ipſa æquiſyllaba, uidelicet quorundam in ως per ω magnum deſinentium maſculinorum & fœmininorum, & in ων deſinentium per ω magnum neutrorum, quorum genitiuus & datiuus in ω magnum,& accuſatiuus in ων magnum*

δηλονότι εἰς ν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας λήγει.

ὁ μενέλεως, τοῦ μενέλεω, τῷ μενέλεῳ, τὸν μενέλεων, ὦ μενέλεως. τὼ μενέλεω, τοῖν μενέλεων, ὦ μενέλεω. οἱ μενέλεῳ, τῶν μενέλεων, τοῖς μενέλεως τοὺς μενέλεως, ὦ μενέλεῳ.

ἡ ἅλως τῆς ἅλω, τῇ ἅλῳ, τὴν ἅλων, ὦ ἅλως. τὰ ἅλω, ταῖν ἅλων, ὦ ἅλω. αἱ ἅλῳ, τῶν ἅλων, ταῖς ἅλῳς, τὰς ἅλως, ὦ ἅλῳ.

τὸ εὔγεων. τοῦ εὔγεω, τῷ εὔγεῳ, τὸ εὔγεων, ὦ εὔγεων. τὼ εὔγεω, τοῖν εὔγεῳν, ὦ εὔγεω. τὰ εὔγεω, τῶν εὔγεων, τοῖς εὔγεως, τὰ εὔγεω, ὦ εὔγεω.

τετάρτη κλίσις.

τετάρτη κλίσις τοῦ ὀνόματος ἔτι καὶ αὐτὴ ἐν τοῖς τρισὶ γένεσι, καὶ ἰσοσύλλαβος, δηλονότι πάντων τῶν εἰς ος, διὰ τοῦ ο μικροῦ ληγόντων ἀρσενικῶν, καὶ θηλυκῶν, καὶ τῶν εἰς ον. ληγόντων οὐδετέρων, πλὴν τῶν συγκριτικῶν, ὧν πάντων ἡ γενικὴ εἰς ου. ἡ δοτικὴ εἰς ω, καὶ ἡ αἰτιατικὴ εἰς ν, μετὰ τοῦ φωνήεντος τῆς εὐθείας λήγει.

ὁ λόγος, τοῦ λόγου, τῷ λόγῳ, τὸν λόγον, ὦ λόγε, καὶ ὦ λόγος. τὼ λόγω, τοῖν λόγοιν, ὦ λόγω. οἱ λόγοι, τῶν λόγων, τοῖς λόγοις, τοὺς λόγους, ὦ λόγοι.

ἡ ὁδὸς, τῆς ὁδοῦ, τῇ ὁδῷ, τὴν ὁδὸν, ὦ ὁδὲ, καὶ ὦ ὁδὸς. τὰ ὁδὼ, ταῖν ὁδοῖν, ὦ ὁδώ. αἱ ὁδοὶ, τῶν ὁδῶν, ταῖς ὁδοῖς, τὰς ὁδοὺς, ὦ ὁδοί.

τὸ ξύλον, τοῦ ξύλου, τῷ ξύλῳ, τὸ ξύλον, ὦ ξύλον. τὼ ξύλω, τοῖν ξύλοιν, ὦ ξύλω. τὰ ξύλα, τῶν ξύλων, τοῖς ξύλοις, τὰ ξύλα, ὦ ξύλα.

πέμπτη κλίσις.

uidelicet in υ cum uocali nominatiui deſinit.

Menelaus,menelai, menelao, menelaum, ò menelae. Dual.menelai, menelaorum, & menelais, ò menelai. Plural.menelai, menelaorum, menelais, menelaos,ò menelai.

Area,areæ,areæ,aream,ò area. Dual. areæ, arearum,& areis,ò areæ. Plural. areæ,arearum. areis,areas,ò areæ.

Ferax, feracis, feraci, ferax, ò ferax. Dualis. feracia, feracium,& feracibus,ò feracia. Pluralis. feracia,feracium,feracibus,feracia,ò feracia.

Quarta declinatio.

Quarta declinatio nominis eſt, & ipſa in tribus generibus, & æquiſyllaba, uidelicet omnium in os per o paruum deſinentium maſculinorum & fœmininorum,& in on deſinentium neutrorum, præter comparatiua, quorum omnium genitiuus in ου, datiuus in ῳ, & accuſatiuus in υ cum uocali nominatiui deſinit.

Sermo,ſermonis,ſermoni, onem,ò ſermo,& ò ſermo. Dual.ſermones,ſermonum,& onibus, ones. Plural.ones, onum,onibus,ones,ò ſermones.

Via,uiæ,uiæ,uiam,ò uia,& ò uia. Dual. uiæ,uiarum,& uijs, ò uiæ. Pluralis,uiæ, uiarum, uijs, uias,ò uiæ.

Lignum,ligni,ligno,lignum,ò lignum. Dualis ligna,lignorum,& lignis,ò ligna. Plural. ligna, lignorum,lignis,ligna,ò ligna.

Quinta declinatio.

καὶ αὗται μὲν αἱ τέσσαρες ἰσοσύλλαβοι, ἡ πέμπτη δὲ καὶ περιττοσύλλαβός ἐστι, καὶ αὕτη ἐν τοῖς τρισὶ γένεσι, δηλονότι πάντων τῶν περιττοσυλλάβως κλινομένων ὀνομάτων, ὧν πάντων ἡ γενικὴ εἰς ος, ἡ δοτικὴ εἰς ι, ἡ αἰτιατικὴ εἰς α, λήγει.

ὁ αἴας, τοῦ αἴαντος, τῷ αἴαντι, τὸν αἴαντα, ὦ αἴαν καὶ ὁ αἴας. τὼ αἴαντε, τοῖν αἰάντοιν, ὦ αἴαντε. οἱ αἴαντες, τῶν αἰάντων, τοῖς αἴασι, τοὺς αἴαντας, ὦ αἴαντες.

ὁ θόας, τοῦ θόαντος, τὰ εἰς ας, καθαρὸν ὀνόματα ἀρσενικὰ δισύλλαβα βαρύτονα μακροκατάληκτα διὰ τοῦ ντ, κλίνεται, οἷον τὰ ἄνω.

ὁ λάχης τοῦ λάχητος. ὁ κέβης τοῦ κέβητος. τὰ εἰς ης ἰαμβικὰ μὴ ἔχοντα τὸ τ, πρὸ τοῦ ης, εἰς τος ποιεῖ τὴν γενικήν.

ὁ πάρις τοῦ πάριδος, τῷ πάριδι, τὸν πάριδα καὶ πάριν, ἡ κλητική, ὦ πάρι.

ὁ ἄδωνις τοῦ ἀδώνιδος, τὰ εἰς ις, κύρια, διὰ τοῦ δος κλίνεται, οἷον τὰ ἄνω· ἰωνικῶς δὲ, χωρὶς τοῦ δ, οἷον πάριος, ἀδώνιος.

ὁ βότρυς τοῦ βότρυος. ὁ ἡδὺς, τοῦ ἡδέος. τὰ εἰς υς. εἰ μὲν τριγενῆ εἰσιν, οἷον ἡδὺς ἡδεῖα ἡδὺ, διὰ τοῦ εος κλίνεται. εἰ δὲ μονογενῆ, διὰ τοῦ υος, πλὴν τοῦ πῆχυς πήχεως, πέλεκυς πελέκεως, ἔγχελυς ἐγχέλεως, ἃ διὰ τοῦ ω μεγάλου ἀττικῶς κλίνεται.

ὁ ἱδρὼς τοῦ ἱδρῶτος, ὁ γέλως τοῦ γέλωτος. ὁ ἥρως τοῦ ἥρωος. τὰ εἰς ως, ἀρσενικὰ βαρύτονα, εἰ μὲν βραχείᾳ παραλήγεται, διὰ τοῦ τος κλίνεται. εἰ δὲ μακρᾷ παραλήγεται, διὰ καθαροῦ τοῦ ος, τὰ

Et hæ quidem quatuor ſunt æquiſyllabę, quinta uerò & in æquiſyllaba eſt, & ipſa in tribus generibus, uidelicet omnium inæquiſyllabicè declinatorum nominum quorum omnium genitiuus in os, datiuus in i, accuſatiuus in a deſinit.

Aiax aiacis aiaci, aiacem, ò aiax.

Dual. aiaces, aiacum & aiacibus, ò aiaces.

Plural. aiaces aiacum aiacibus aiaces ò aiaces.

Thoas thoantis. In as purum nomina maſculina diſſyllaba grauitona ultima longa deſinentia, per nt declinantur, ut ſupra dicta.

Laches lachetis, Cebes cebetis. In ης iambica, non habentia τ ante ης, in τος faciunt genitiuum.

Paris, paridis, paridi, parida, & parim, uocatiuus o pari.

Adonis adonidis. In ις propria per δος declinantur, ut ſupra dicta, Ionicè uerò abſque δ, ut paridis, adonidis.

Botrus botri, ſuauis ſuauis. In υς, ſi trium generum ſint, ut ſuauis ſuauis, ſuaue, per εος declinantur: ſi uerò unius generis, per υος. pręter cubitus cubiti, ſecuris ſecuris, anguilla anguillæ, quæ per ω magnum Atticè declinantur.

Sudor ſudoris, riſus, riſus, heros herois. In ως grauitona maſculina ſi quidem breui in penultima deſinant, per τος declinantur: ſi uerò longa in penultima deſinant per ος purum. Acutitona quæ ſu

δὲ ὀξύτονα ὑπὲρ μίαν συλλαβὴν, διὰ τοῦ ωτος.

ὁ χαρίεις τοῦ χαρίεντος, ὁ εἷς τοῦ ἑνός. τὰ εἰς εις, ὑπὲρ μίαν συλλαβὴν, διὰ τοῦ ντ, κλίνεται. τὰ δὲ μονοσύλλαβα διὰ τοῦ ν, οἷον εἷς ἑνὸς, καὶ τὰ ἐξ αὐτοῦ, οὐδεὶς οὐδενὸς.

ὁ βοῦς, τοῦ βοὸς, τὸν βόα, καὶ βοῦν, ὦ βοῦ.

ὁ ποῦς, τοῦ ποδὸς, ὦ ποῦς. ὁ παῖς, τοῦ παιδὸς. τὰ εἰς ους ἁπαθῆ, διὰ καθαροῦ τοῦ ος, κλίνεται. πλὴν ποῦς, τοῦ ποδὸς.

ὁ ἕλμινς, τοῦ ἕλμινθος, ὁ τίρυνς, τοῦ τίρυνθος. πᾶν ὄνομα εἰς δύο σύμφωνα λῆγον, διὰ δύο συμφώνων κλίνεται, πλὴν τοῦ ἅλς ἁλός.

ὁ θώραξ, τοῦ θώρακος. ὁ ἅρπαξ. τοῦ ἅρπαγος τὰ εἰς αξ, διὰ τοῦ κ, κλίνεται, εἰ μὴ ἀπὸ ῥήματος, εἰς ζω, λήγοντος εἴη. τότε γὰρ διὰ τοῦ γ κλίνεται.

ὁ μύρμηξ, τοῦ μύρμηκος. ὁ βουπλὴξ, τοῦ βουπλῆγος τὰ εἰς ηξ βαρύτονα ἁπλᾶ διὰ τοῦ κ, κλίνεται, τὰ δὲ σύνθετα, καὶ ὀξύτονα, διὰ τοῦ γ.

ὁ πέρδιξ, τοῦ πέρδικος, ὁ τέττιξ, τοῦ τέττιγος. τὰ εἰς ιξ διὰ τοῦ κ, κλίνεται, εἰ μὴ τὸ ῥῆμα, εἰς ζω, ἔχει. τότε γὰρ διὰ τοῦ γ κλίνεται.

ὁ δοίδυξ, τοῦ δοίδυκος. ὁ ὄνυξ τοῦ ὄνυχος. τὰ εἰς υξ φύσει μακρᾷ παραλήγοντα, καὶ τὰ διὰ δύο συμφώνων ἐκφέρεται, διὰ τοῦ κ, κλίνεται, φρὺξ ὅμως διὰ τοῦ γ, οἷον φρυγός.

ὁ βὼξ, τοῦ βωκός. ὁ σκὼψ, τοῦ σκωπός. τὰ εἰς ωξ. ἁπλᾶ, διὰ τοῦ κ, πλὴν τοῦ ῥὼξ ῥωγός.

ὁ κύκλωψ, τοῦ κύκλωπος. ὁ μώλωψ, τοῦ μώλωπος. ὁ γύψ, τοῦ γυπός. τὰ εἰς ψ, διὰ τοῦ π,

pra unam ſunt ſyllabam, per ωτος.

Gratioſus gratioſi, unus unius. In εις quæ ſupra unam ſunt ſyllabam, per ντ declinantur. Monoſyllaba uerò per n, ut unus, unius, & quæ ex ipſo ſunt, nullus, nullius.

Bos, bouis, bouem & bouem, o bos.

Pes, pedis, ò pes. puer, pueri.

In ους impatibilia per purum ος declinantur, præter pes pedis.

Tinea tineæ, tiryns tirynthis. Omne nomen in duas conſonantes deſinens, per duas conſonantes declinantur, præter ſal ſalis.

Thorax thoracis, rapax rapacis. In αξ per κ declinantur, niſi à uerbo in ζω deſinente fiant, tunc enim per γ declinantur.

Formica formicę. ſtimulus ſtimuli. In ηξ grauitona ſimplicia per κ declinantur, compoſita uerò & acutitona per γ.

Perdix perdicis, cicada cicadæ. In ιξ per κ declinantur niſi uerbum in ζω habeat, tunc enim per γ declinatur.

Cocleare coclearis, unguis unguis. In υξ natura longa deſinentia in penult. & quæ per duas conſonantes efferuntur, per κ declinantur. Phrix tamen per γ phrygis.

Boca bocæ, lepus leporis. In ωξ ſimplicia per κ, præter rupes rupis.

Cyclops cyclopis. uibex uibicis, uultur uulturis. In ψ, per π

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

κλίνονται, πλὴν τοῦ ἄραψ ἄραβος· λὶψ λιβὸς· κὶνυψ κίνυφος πόλις.

ὁ ἀλκμὰν τοῦ ἀλκμᾶνος· ὁ παιὰν, τοῦ παιᾶνος· τὰ εἰς αν, ὀξυνόμενα, προσθέσει τοῦ ος κλίνεται.

ὁ ἕλλην τοῦ ἕλληνος· ὁ ποιμὴν, τοῦ ποιμένος. τὰ εἰς ην, εἰ μὲν ὀξύτονα εἴη, μὴ ἔχοντα τὸ μ, προσθέσει τοῦ ος, κλίνονται, οἷον σωλὴν σωλῆνος, πλὴν τοῦ αὐχὴν αὐχένος.

ὅσα δὲ τὸ μ, ἔχει, τρέπει τὸ η, εἰς ε οἷον ποιμὴν ποιμένος, πλὴν τοῦ μὴν μηνός. εἰ δὲ βαρύτονα εἴη καὶ μονογενῆ, τὸ η ἔχει ἀντὶ τῆς γενικῆς, οἷον ἕλλην ἕλληνος· ὅσα δὲ τὸ οὐδέτερον ἔχει, διὰ τοῦ ενος κλίνεται, οἷον τέρην τέρενος.

ὁ δελφὶν δελφῖνος.

ὁ φόρκυν τοῦ φόρκυνος, τὰ εἰς ιν, καὶ υν προσθέσει τοῦ ος, ποιεῖ τὴν γενικήν.

ὁ λέων τοῦ λέοντος. ὁ θέων τοῦ θέωνος· ὁ σαρπηδὼν τοῦ σαρπηδῶνος, ὁ ποσειδῶν τοῦ δῶνος· ὁ ξενοφῶν τοῦ ξενοφῶντος· ὁ κοιτὼν τοῦ κοιτῶνος, ὁ ἀγὼν τοῦ ἀγῶνος· ὁ χειμὼν τοῦ χειμῶνος· τὰ εἰς ων, βαρύτονα, εἰ μὲν παρώνυμα, διὰ τοῦ ωνος. κλίνεται οἷον κικέρων κικέρωνος· τὰ δὲ ῥηματικὰ ἢ κοινὰ τῷ γένει, διὰ τοῦ ονος κλίνονται, οἷον φιλήμων φιλήμονος· βελτίων βελτίονος, σώφρων σώφρονος. τὰ δὲ ἔχοντα θηλυκὰ διὰ τοῦ αινα, διὰ τοῦ ντ, κλίνονται· οἷον θεράπων θεράποντος, ὅτι θεράπαινα. πλὴν τοῦ λάκων λάκωνος. οὐ ὅμως ἐστὶ λάκαινα. τὰ εἰς ων, ὀξύτονα, εἰ μὲν περισπώμενα εἴη, διὰ τοῦ ωντος, κλίνεται. οἷον ξενοφῶν ξενοφῶντος. πλὴν τοῦ

declinantur, præter arabs arabis, libs libis, cinyps cinyphis urbs.

Alcman alcmanus, Pæan pæanis. In αν ultima acuta, additione ος declinantur.

Græcus græci, paſtor paſtoris.

In ων ſi quidem acutitona ſint non habentia μ additione ος declinantur, ut canalis canalis, præter ceruis ceruicis.

Quæ uero μ habent, mutant η in ε, ut paſtor paſtoris, prætet menſis menſis: ſi uerò grauitona ſint & unius generis, ν habent in genitiuo, ut græcus græci, quæ autem neutrum habent, per ενος declinantur, ut tener teneri.

Delphin delphinis.

Phorcyn phorcynos. In ιν & υν, additione ος faciunt genitiuum.

Leon leonis, Theon theonis, Sarpedon ſarpedonis, Neptunus neptuni, Xenophon xenophontis, ſtratum ſtrati.

Certamen certaminis, hyems hyemis. In ων grauitona, ſi quidem à nominibus deducta ſint, per ωνος ut Cicero ciceronis: uerbalia uerò, aut genere communia per ονος declinantur, ut Philemon philemonis, melior melioris. temperatus temperati. Habentia autem fœminina per ουνα per ντ declinantur, ut famulus famuli, quod famula hinc fiat præter lacon laconis, cuius tamen eſt lacæna. In ων acutitona ſiquidem circunflexa ſint, per ωντος declinantur, ut Xenophon xenophontis, præter

ποσειδῶν ποσειδῶνος, καὶ ταῶν ταῶνος. τὰ δὲ μὴ πε-
ρισπώμενα, καὶ εἰς δων, λήγει, διὰ τοῦ ωνος. κλίνεται
οἷον σαρπηδὼν, σαρπηδῶνος. πλὴν τοῦ σιδὼν σιδῶ-
νος. τὰ δὲ πελεκτικὰ εἴη, ἢ ὡς πελεκτικὰ διὰ τοῦ
ωνος, κλίνεται, οἷον κοιτὼν, κοιτῶνος. ἀγὼν, ἀγῶνος.

ὁ ἴβηρ, τοῦ ἴβηρος. ὁ λυτὴρ, τοῦ λυτῆρος. ὁ αἰθὴρ
τοῦ αἰθέρος. ὁ ἀὴρ τὸ ἀέρος, τὰ εἰς ηρ τὰ μὲν τὸ τ' ἔχει,
διὰ τοῦ ηρος κλίνεται, πλὴν ἀστὴρ ἀστέρος. πατὴρ
πατέρος τὰ δὲ μὴ ἔχοντα τὸ τ, διὰ τοῦ ερος. οἷον, ἀ-
νὴρ ἀνέρος. ὃ καὶ ἀνδρὸς λέγεται. πλὴν σπινθὴρ
σπινθῆρος. ἴβηρ ἴβερος.

ὁ νέστωρ τοῦ νέστορος. ὁ ἕκτωρ τοῦ ἕκτωρος. τὰ εἰς
ωρ βαρύτονα, διὰ τοῦ ορος, κλίνεται, οἷον νέστωρ νέ-
στορος, πλὴν τῶν ἐχόντων τὸ λ, ἢ τὸ μ, ἃ διὰ τοῦ ω-
ρος. οἷον κέλωρ κέλωρος. τέκμωρ, τέκμωρος, καὶ
τῶν ῥωμαϊκῶν ἀξιωμάτων, οἷον δικτάτωρ δικτά-
τωρος, πραίτωρ πραίτωρος.

θηλυκὰ ὀνόματα,

ὁ φυγὼν, τῆς φυγόνος, τῇ φυγόνι, τὴν φυγόνα,
ὦ φυγόν. τὼ φυγόνε τοῖν φυγόνοιν, ὦ φυγόνε. αἱ
φυγόνες, τῶν φυγόνων, ταῖς φυγόσι, τὰς φυγόνας
ὦ φυγόνες. ἡ φήρων τῆς φήρωνος. ἡ μήκων τῆς μή-
κωνος. τῶν εἰς ων, θηλυκῶν τὰ μὲν ὀξύτονα διὰ τοῦ ο
μικροῦ κλίνονται, τὰ δὲ βαρύτονα, διὰ τοῦ ω μεγά-
λου ὁμοίως τὰ ἐπὶ πόλεων. οἷον σιδὼν σιδῶνος.

ἡ αὔλαξ τῆς αὔλακος. ἡ αἲξ τῆς αἰγὸς ἡ πίδαξ
τῆς πίδακος. τὰ εἰς ξ, θηλυκὰ μετὰ τοῦ φωνήεντος,
διὰ τοῦ κ, κλίνονται, πλὴν τὰ μονοσύλλαβα. οἷον
στὺξ, στυγὸς, πρὸιξ ὁμῶς διὰ τοῦ, προικός.

Neptunus neptuni, & pauo pauonis. Quod ſi non circunflexa in δων deſinant, per ωνος declinantur, ut Sarpedon ſarpedonis, præter ſidon ſidonis: ſin uerò fuerint collectiua, aut quaſi collectiua per ωνος declinantur, ſtratum ſtrati, certamen certaminis.

Iber iber, peluis peluis, æther ætheris, aer aeris. In ηρ ſi τ habeant, per ηρος declinantur, præter aſtrum aſtri, pater patris: non habentia uero τ, per ερος, ut uir uiri, quod & uiri dicitur, præter ſcintilla ſcintillæ, iber iberis.

Neſtor neſtoris, hector hectoris. In ων grauitona per ορος declinantur, præter habentia λ aut μ, quæ per ωρος, ut uox bellica uocis bellicæ, ſignum ſigni, & præter Romanos magiſtratus, ut dictator dictatoris, peætor prætoris.

Fœminina nomina.

Turtur, turturis, turturi, turturem, ò turtur. Dual. turtures, turturum, & turturibus, ò turtures. Plu. turtures, turturum, turturibus, turtures, ò turtures. Columba columbæ, papauer papaueris. Fœmininorum, in ων quædam quidem acutitona per o paruum declinantur, quædam uerò grauitona per ω magnum, ſimiliter nomina urbium, ut ſidon ſidonis.

Sulcus ſulci capra capræ, fons fontis, dos dotis. In ξ fœminina cum uocali per κ declinantur, præter monoſyllaba, ut ſtyx ſtigis, dos tamen per κ, dotis.

ἡ σφὶγξ τῆς σφιγγός· ἡ σάλπιγξ τῆς σάλπιγγος· ἡ σὰρξ τῆς σαρκός·

τὰ εἰς ξ μετὰ συμφώνου, ἃ μὲν τὸ γ ἔχει, διὰ τοῦ γ κλίνεται· ἃ δὲ ἄλλο σύμφωνον ἔχει, διὰ τοῦ κ.

ἡ μήτηρ, τῆς μητέρος, ὦ μῆτερ. ἡ θυγάτηρ τῆς θυγατέρος, ὦ θύγατερ. τὰ εἰς ηρ, θηλυκὰ, διὰ τοῦ ερος κλίνεται. μητρὸς δὲ καὶ θυγατρὸς κατὰ συγκοπὴν λέγονται.

ἡ λαμπὰς τῆς λαμπάδος. ἡ ῥοιὰς τῆς ῥιάδος. τὰ εἰς ας, θηλυκὰ, διὰ τοῦ αδος· οἷον μονὰς αδος.

ἡ φιλότης τῆς φιλότητος, ἡ κακότης τῆς κακότητος· τὰ εἰς της θηλυκὰ, διὰ τοῦ τητος κλίνεται.

ἡ μῆνις τῆς μήνιδος· ἡ νεᾶνις τῆς νεάνιδος· τὰ εἰς ις, μακρᾷ παραλήγοντα, διὰ τοῦ ιδος κλίνεται.

ἡ πίτυς τῆς πίτυος. ἡ χλαμὺς τῆς χλαμύδος. τὰ εἰς υς, βαρύτονα, διὰ τοῦ υος κλίνεται, τὰ δὲ ὀξύτονα, διὰ τοῦ υδος, πλὴν ἰλὺς ἰλύος.

περὶ τῶν οὐδετέρων ὀνομάτων.

τὸ βῆμα τοῦ βήματος. τὸ δῶμα τοῦ δώματος. τὸ σχῆμα τοῦ σχήματος. τὸ δόμα τοῦ τος, τὰ εἰς α, λήγοντα οὐδέτερα ἀπαθῆ, ὧν μ. παραλήγεται, καὶ διὰ τοῦ τος, κλίνεται.

τὸ μέλι τοῦ μέλιτος. τὰ εἰς ι, λήγοντα οὐδέτερα μονογενῆ ἑλληνικὰ, διὰ τοῦ τος κλίνονται.

τὸ πῶυ εος. τὸ γόνυ υος. τὸ δόρυ υος. τὰ εἰς υ, εἰ μὲν μακρᾷ παραλήγεται, διὰ τοῦ εος· εἰ δὲ βραχείᾳ, διὰ τοῦ υος· γόνυ γένυος, δόρυ δόρυος, καὶ γουνὸς καὶ δουρὸς, κατὰ μετάθεσιν λέγεται.

τὸ δέλεαρ τοῦ ατος. τὸ ἔαρ τοῦ ἔαρος. τὸ ἕλωρ τοῦ

Spinx ſphingis, tuba tubæ, caro carnis.

In ξ cum conſonante, ſiquidem γ habeant, per γ declinantur, ſi uerò aliam conſonantē habeant, per κ.

Mater matris, ò mater, filia filiæ, ò filia. In ηρ fœminina per ερος declinantur, matris uerò & filiæ, per ſyncopen dicuntur.

Lampas lampadis ternio ternionis.

In ας fœminina per αδος, ut unio unionis.

Amcitia amicitiæ, malitia malitiæ.

In της fœminina per τητος declinantur.

Ira iræ, puella puellæ,

In ις longa, in penul. deſinentia per ιδος declinantur.

Pinus pini, chlamys chlamydis.

In υς grauitona per υος declinantur, acutitona uerò per υδος, præter limus limi.

De nominibus neutris.

Tribunal tribunalis, domus domus, figura figuræ, domus domus. In α deſinentia neutra impatibilia. μ in penultima deſinunt, & per τος declinantur.

Mel mellis. In i deſinentia neutra unius generis græca per τος declinantur.

Grex gregis, genu genu, haſta haſtæ. In υ ſi longa, in penultima deſinant per εος, ſin breui per υος genus genu, haſta haſtæ, & genu & haſtæ per metatheſin dicuntur,

Eſca eſcæ, uer ueris, locatio

ρος. τὸ ἧπαρ τοῦ ἥπατος. τὰ εἰς ρ, οὐδέτερα, εἰς ρος. ποιεῖ τὴν γενικὴν, πλὴν τινῶν ἑτεροκλίτων. φρέαρ τοῦ φρέατος, δέλεαρ ατος, ὕδωρ ατος, ἧπαρ ατος.

τὸ βέλος τοῦ βέλεος. τὸ τεῖχος τοῦ τείχεος.

τὸ φῶς, τοῦ φωτὸς, τῷ φωτὶ, τὸ φῶς, ὦ φῶς. τὼ φῶτε, τοῖν φωτοῖν, ὦ φῶτε, τὰ φῶτα, τῶν φωτῶν, τοῖς φωτὶ. τὰ φῶτα, ὦ φῶτα, τὸ οὖς τοῦ ὠτός.

τὸ κρέας τοῦ κρέατος, τὸ γῆρας τοῦ γήρατος.

περὶ τῆς αἰτιατικῆς.

σημείωσαι ἐπὶ ταύτης τῆς πέμπτης καὶ περιττοσυλλάβου κλίσεως, ὅτι τὰ εἰς ις, διὰ τοῦ ι, ἢ διὰ τοῦ υ, λήγοντα ὀνόματα, εἰ μὲν διὰ καθαροῦ τοῦ ος, κλίνοιντο, καί τοι περιττοσυλλάβως κλινόμενα, ὅμως τὴν αἰτιατικὴν εἰς ν, ἰσοσύλλαβον τῇ εὐθείᾳ ἔχει· οἷον ὄφις, ὄφιος, ὄφιν. ἡ λέξις, λέξιος, λέξιν. ὁ βότρυς, τοῦ βότρυος, βότρυν. ἡ πίτυς, τῆς πίτυος, πίτυν. ἐπεὶ καθόλου, ἐξέλιπεν ἡ χρῆσις τῶν εἰς α, αἰτιατικῶν. ἐφ' ὧν ἐστὶν ἡ γενικὴ εἰς ος· καθαρὸν, διχρόνῳ παραληγομένη καὶ ἐπὶ τῶν ὀξυτόνων μὲν δὲ ὡσαύτως, οἷον ὁ ἡδὺς τοῦ ἡδέος, τὸν ἡδύν. ἡ ἰλὺς, τῆς ἰλύος, τὴν ἰλύν.

εἰ δὲ μὴ διὰ καθαροῦ τοῦ ος, ἀλλὰ μετὰ συμφώνου κλίνοιντο, εἰ μὲν ὀξύτονα εἴη, κατὰ τὴν ἀκολουθίαν τῆς περιττοσυλλάβου κλίσεως, περιττοσύλλαβον εἰς α· καὶ αὐτὰ ἔχει τὴν αἰτιατικὴν, οἷον κρηπὶς κρηπῖδος κρηπῖδα. χλαμὺς χλαμύδος χλαμύδα. εἰ δὲ βαρύτονα εἶεν, οὐ μόνον περιττοσύλλαβον εἰς α, ἀλλὰ καὶ ἰσοσύλλαβον εἰς ν, ἔχει τὴν αἰτιατικὴν, ὁ πάρις, τοῦ πάριδος, τὸν πάριδα, καὶ πάριν. ὁμοίως, ἡ μῆνις, μήνιδος, μήνιδα καὶ μῆνιν. ἔπηλυς, ἐπή-

λυδος

locationis,hepar hepatis. In ρ *neutra in* ρος *faciunt genitiuum,præter heteroclita quædam , puteus putei,eſca eſcæ,aqua aquæ,hepar hepatis.*

Telum *teli,murus muri.*

Lumen *luminis lumini lumen , ò lumen.* Dual. *lumina luminum & luminibus lumina.*Plural. *lumina luminum luminibus lumina,ò lumina.auris auris.*

Caro *carnis, ſenectus ſenectutis.*

De Accuſatiuo.

Nota *in hac* *quinta* *& inæquiſyllaba declinatione quòd in* ις *aut* per *v deſinentia nomina,* *ſi per* *os , purum declinentur:* *quanuis inæquiſyllabicè declinentur,tamen accuſati.in v æquiſyllabum nominatiuo habent , ut ſerpens ſerpentis ſerpentem,dictio dictionis ctionē,*botrus botri,botrum,*pinus pinus pinum.* Quando omnino *exoleuit uſus accuſatiuorum in* α, *in quibus eſt genitiuus in os purum,ancipiti in penult.deſinens.* Et *in acutitonis ſimiliter,* *ut ſuauis ſuauis ſuauem.* *limus limi limum, quòd ſi non per purum os,* *ſed cum conſonante declinentur, ſiquidem acutitona ſint , iuxta curſum inæquiſyllabæ declinationis,* *inæquiſyllabum in* α *& ipſa habent accuſatiuum,* *ut crepida crepidæ crepidam,chlamys chlamydis chlamydem.* Sin *uerò grauitona ſint,non ſolum inæquiſyllabum in* α *, uerum & æquiſyllabum in v habent accuſatiuum,* Paris *paridis paridem & parin.* Similiter *ira iræ iram & iram.* Aduena *ade-*

λυδος, ἐπήλυδα καὶ ἔπηλυν ἑκατέρου γένους.

περὶ τῆς κλητικῆς.

σημείωσαι περὶ τῶν κλητικῶν, ὅτι καθόλου μὲν αἱ ἀττικαὶ τὰς ἁπλᾶς ἔχουσιν ὀρθὰς καὶ κλητικάς.

καὶ ἐπὶ τῶν οὐδετέρων δὲ καθόλου ἡ αὐτή ἐστιν ὀρθὴ καὶ κλητική.

χωρὶς δὲ τούτων, τὰ μὲν ἰσοσυλλάβως κλινόμενα εἰ μὲν εἰς ας, λήγει, ὡς ἐπὶ τῆς πρώτης κλίσεως ἔχει ἀποβολῇ τοῦ σ ποιεῖ τὴν κλητικήν.

ὁμοίως δὲ καὶ τὰ εἰς ης ἰσοσυλλάβως κλινόμενα. ὡς ἐπὶ τῆς αὐτῆς πρώτης κλίσεως ἔχει, εἰ μὴ παρὰ ῥῆμα εἴη παρηγμένα, ἢ τὸ τ, ἔχοι, ἢ ἐθνικὰ εἴη, καὶ ἀποβολὴν τοῦ σ, ποιεῖ τὴν κλητικήν. εἰ γάρ τι τῶν εἰρημένων εἴη, εἰς α ποιεῖ τὴν κλητικήν.

τὰ δὲ εἰς α, καὶ εἰς η λήγοντα θηλυκά, ὡς ἐπὶ τῆς δευτέρας κλίσεως ἔχει, καὶ τὰ εἰς ως, ἀρσενικὰ καὶ θηλυκά, διὰ τοῦ ω μεγάλου, ὡς ἐπὶ τῆς τρίτης κλίσεως τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν. ταῦτα δ' ἐστὶ τὰ ἀττικά.

τά γε μὴν εἰς ος, διὰ τοῦ ο μικροῦ ἀρσενικὰ καὶ θηλυκά, ὡς ἐπὶ τῆς τετάρτης κλίσεως ἔχει, εἰς ε ποιεῖ τὴν κλητικήν.

τὰ δὲ περιττοσυλλάβως κλινόμενα, ὡς ἐπὶ τῆς πέμπτης τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν, πλὴν τῶν σημειουμένων κανόνων πέντε.

τὰ διὰ τοῦ ντ κλινόμενα, καὶ μὴ διφθόγγῳ παραλη γόμενα ἀπὸ τῆς γενικῆς ἀποβολῇ τοῦ τος, ποιεῖ τὴν κλητικήν, οἷον αἴαντος ὦ αἶαν, τοῦ χαρίεντος ὦ χαρίεν

τὰ εἰς α ἀμετάβολον λήγοντα βαρύτονα, ἀποβάλλοντα τῆς γενικῆς τὴν ἐσχάτην τὸ ος, ποιεῖ τὴν

uenæ, aduenam & aduenam utriuſque generis.

De Vocatiuo.

Nota de Vocatiuis quòd in uniuerſum Attici eoſdem habent nominatiuos & uocatiuos.

Et in neutris generatim idem eſt nominatiuus & Vocatiuus.

Extra uerò hæc, æquiſyllabicè declinata ſi in as deſinunt, ut in prima declinatione habent, abiectione σ faciunt uocatiuum.

Similiter autem & in ης æquiſyllabicè declinata, ut in eadem prima declinatione habent, niſi à uerbo ſint deducta, aut τ habeant, aut gentilia ſint, per abiectionem σ faciunt uocatiuum. Si enim quicquam dictorum ſit, in α faciunt uocatiuum.

In α uero & η deſinentia fœminina, ut in ſecunda declinatione habent, & in ως maſculina & fœminina per ω magnum, ut in tertia declinatione eundem habent nominati. & uocati. Hæc uerò ſunt Attica.

In os autem per o paruum maſculina & fœminina, ut in quarta declinatione habent, in ε faciunt uocatiuum.

Inæquiſyllabicè uerò declinata, ut in qninta eundem habent nominatiuum & uocatiuum præter notatos canones quinque.

Declinata per ντ & non diphthongo deſinentia in penultima, a Genitiuo abiectione τος faciunt Vocatiuum, ut Aiax ò aiax, gratioſus ò gratioſe.

Deſinentia in immutabilem grauitona abijcientia à Genitiuo ultimam os faciunt

κλητικήν. οἷον ἕλληνος ὦ ἕλλην, ἕκτορος ὦ ἕκτωρ

τὰ εἰς ης, διὰ τοῦ εος, εἰς ους, κατὰ συναίρεσιν ἔχοντα. τὴν γενικὴν εἰς, ους, ποιεῖ τὴν κλητικὴν καὶ ἀναβιβάζει τὸν τόνον, εἰ σύνθετά εἰσι καὶ βαρύτονα, οἷον ὁ δημοσθένης, τοῦ δημοσθένεος καὶ σθένους ὦ ὀσθενες.

τὰ εἰς σ, λήγοντα μετὰ διφθόγγου, ἢ μετὰ τοῦ ι, ἢ μετὰ τοῦ υ, ἀποβολῇ τοῦ σ, ποιεῖ τὴν κλητικήν. οἷον παῖς παῖ. βοῦς ὦ βοῦ. μάντις ὦ μάντι. πούς δὲ ὦ πούς ποιεῖ.

τὰ εἰς ω, καὶ εἰς ως, θηλυκὰ, ὧν ἡ γενικὴ διὰ τοῦ οος, κατὰ συναίρεσιν ους, περατοῦται, εἰς οι, ποιεῖ τὴν κλητικὴν οἷον σαπφὼ σαπφόος καὶ φοῦς ὦ σαπφοῖ

τάγε μὴν παρὰ ταῦτα εἰς ης, διὰ τοῦ η, ἢ εἰς ως, διὰ τοῦ ω, μεγάλου. διὰ τοῦ τος, ἢ διὰ καθαροῦ τοῦ ος, καὶ τὰ εἰς διπλοῦν, ἢ εἰς ἀμετάβολον, ἢ εἰς δύο σύμφωνα λήγοντα, καὶ ἁπλῶς πάντα τὰ παρὰ τὰ εἰρημένα πέντε, τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικὴν, ἄνερ μέντοι καὶ πάτερ καὶ σῶτερ καὶ δᾶερ λέγεται.

περὶ τῶν πληθυντικῶν δοτικῶν.

σημείωσαι περὶ τῶν δοτικῶν τῶν πληθυντικῶν τῆς πέμπτης κλίσεως, ὅτι πᾶσα δοτικὴ ἑνικῶν εἰς ι, ἐκφωνούμενον λήγουσα, ὡς αὐτὴ τῆς περιττοσυλλάβου κλίσεως ἔχει, πρὸ τοῦ ι, δεχομένη τὸ σ, ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, οἷον πίτυϊ πίτυσι, ἁλὶ ἁλσί. παραιτησαμένη τε τὰ μὴ δυνάμενα σὺν αὐτῇ ἀκουσθῆναι στοιχεῖα δηλονότι τὸ δ, καὶ ν, καὶ τὸ τ, οἷον αἴαντι αἴασι, φιάδι φίασι, γέλωτι γέλωσι. ὃ δὲ οὐ σύμφωνον ἔχει πρὸ τοῦ ι, καὶ τὸ υ, πρὸ τοῦ σ, προσλαβοῦσα, εἰ καὶ ἡ εὐθεῖα τοῦτ' ἔχει ἐν δι-

Vocatiuum,ut gæcus ò græce,hector ò hector.

In ης per εος, in us per ſinæreſim habentia genitiuum, in ες faciunt Vocatiuum & traducunt tonum, ſi compoſita ſint grauitona, ut Demoſthenes demoſthenis et moſthenis,ò demoſthenes.

In σ deſinentia cum diphthongo aut cum ι uel cum υ, abiectione σ faciunt uocatiuum, ut puer ò puer, bos ò bos, uates ò uates: pes uerò ò pes facit.

In ω & in ως fœminina, quorum genitiuus per oos, per ſynereſim in ους deſinit, in οι faciunt uocatiuum,ut ſappho ſapphus & ſapphus, ò ſappho.Porrò præter hæc,in ης per η, & in ως per ω magnum, per τος aut purum os, aut in duplicem,aut in immutabilem, aut in duas conſonantes deſinentia, & omnino omnia præter prædicta quinque,eundem habent accuſatiuum & uocatiuum; uir tamen & pater & ſeruator & leuir dicitur.

De Datiuis pluralibus.

Nota de datiuis pluralium quintæ declinationis,quòd omnis Dati. ſingularium in ι pronunciatum deſinens, ut inæquiſyllaba declinatione habet, ante i ſuſcipiens σ facit Datiuum pluralium, ut pinui pinibus, ſali ſalibus, aſpernatusq; non potentia cum ipſa audiri elementa, uidelicet δ,ν, & τ ut Aiaci aiacibus,ternioni ternionibus,riſui riſibus. Quòd ſi non habeant conſonantem ante ι, υ ante σ accepta, ſi etiam nominatiuus habeat hanc in di-

φθόγγῳ, οἷον βοΐ βουσὶ, πηλεῖ πηλοῦσι, καὶ αὐξήσασα τὴν παραλήγουσαν ἐκτάσει διχρόνου, ἢ προσθήκῃ φωνήεντος οἰκείως ἔχοντος προστιθῶσαι, τῶν προειρημένων τῶν μὴ δυναμένων, σὺν αὐτῇ ἀκολουθῆσαι στοιχείων βραχυτέρα ἡ παραλήγουσα αὐτῆς καταλείποιτο τῆς παραληγούσης τῶν ἄλλων πτώσεων, οἷον λέγοντι λέγουσι, ἅπαντι ἅπασι, χαρίεντι χαρίεσι. τὰ μὲν εἰς ξ, ἢ εἰς ψ, λήγοντα ὀνόματα, προσθέσει τοῦ ι, ἐν τῇ εὐθείᾳ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, οἷον κῆρυξ κήρυξι, κύκλωψ κύκλωψι.

αὗται μὲν οὖν αἱ ῥηθεῖσαι κλίσεις πέντε ἁπλαῖ εἰσὶ καὶ ἀσυναίρετοι. εἰσὶ δὲ ἕτεραι πέντε ἀπὸ τῆς πέμπτης καὶ περιττοσυλλάβου κλίσεως τῶν ἀσυναιρέτων κατὰ συναίρεσιν καὶ κρᾶσιν γινόμεναι, καὶ τινὰς δὲ βραχείας διαφορὰς ἀπὸ τῆς κοινῆς ταύτης κλίσεως κατ᾽ Ἴωνας, καὶ ἀττικοὺς ἐμφαίνουσαι. αἳ δὴ καλείσθωσαν συνῃρημέναι, ὥστε λεγέσθω, ὅτι αἱ κλίσεις τῶν ὀνομάτων εἰσὶ δέκα, πέντε μὲν ἁπλαῖ καὶ ἀσυναίρετοι, πέντε δὲ συνῃρημέναι.

ἔστι τοίνυν συναίρεσις, δύο φωνηέντων συναλοιφὴ καὶ ἀμφοτέρων φυλαττομένων, οἷον δημοσθένεϊ δημοσθένει.

κρᾶσις δὲ δύο φωνηέντων συναλοιφὴ, καὶ ἀμφοτέρων ἀλλοιουμένων. οἷον δημοσθένεα δημοσθένη, ἢ τοῦ ἑνός· οἷον δημοσθένεος δημοσθένους. ὅμως θάτερον ἀντὶ θατέρου λαμβάνεται.

πρώτη κλίσις.

πρώτη κλίσις τῶν συνῃρημένων ἐστὶν ἐν τοῖς ἀρσε-

phtongo,ut boui bobus,peleo peleis, & aucta penultima extenſione ancipitis, aut additione uocalis propriè potentis adponi, ſi, ſublatis non potentibus cum ipſa audiri elementis, breuior penultima relinquatur penultima aliorum caſuum, ut dicenti dicentibus, Aiaci aiacibus, gratioſo gratioſis. Porrò in ξ aut in ψ deſinentia nomina additione ι in Nominatiuo faciunt datiuum pluralium, ut præco præconibus, cyclops cyclopibus.

Hæ igitur dictæ declinationes quinque ſimplices ſunt & incontractæ. Sunt autem aliæ quinque à quinta & inæquiſyllaba declinatione incontractorum per ſynæreſin & craſin factæ, breues quaſdam differentias a communi hac declinatione ſecundum Iones & Atticos præ ſe ferentes, quæ ſanè uocentur contractæ. Dicatur igitur, quòd declinationes nominum ſint decem, quinque quidem ſimplices incontractæ, quinque uero contractæ.

Eſt igitur Sinæreſis duarum uocalium coniunctio & ambarum ſeruatarum, ut Demoſtheni Demoſtheni.

Craſis uerò duarum uocalium coniunctiò & ambarum uariatarum, ut Demoſthenem Demoſthenem aut unius, ut Demoſthenis Demoſthenis. Tamen altera pro altera accipitur.

Prima declinatio.

Prima declinatio contractorum eſt in maſcu-

νικοῖς καὶ θηλυκοῖς καὶ οὐδετέροις, δηλονότι τῶν εἰς ης, διὰ τοῦ η, ληγόντων ἀρσενικῶν καὶ θηλυκῶν ὀνομάτων, καὶ τῶν εἰς ου, ἢ ἐς ος, ληγόντων οὐδετέρων, ὧν ἡ γενικὴ διὰ τοῦ εος, περιττοσύλλαβος οὖσα, εἰς οις, ἰσοσυλλάβως ποιεῖ τὸ συνῃρημένον.

ὁ δημοσθένης, τοῦ δημοσθένεως καὶ δημοσθένους τῷ δημοσθένεϊ καὶ δημοσθένει, τὸν δημοσθένεα, καὶ σθένη, ὦ δημόσθενες καὶ ὦ σθένης· τὼ σθένεε καὶ δημοσθένη, τοῖν μοσθενέοιν, καὶ μοσθενοῖν, ὦ δημοσθένεε καὶ ὦ δημοσθένη. οἱ δημοσθένεες καὶ δημοσθένεις, τῶν δημοσθενέων καὶ μοσθενῶν, τοῖς δημοσθένεσι, τοὺς δημοσθένεας καὶ δημοσθένεις, ὦ δημοσθένεες καὶ ὦ δημοσθένεις.

ἡ ἀληθὴς, τῆς ἀληθέος, καὶ ἀληθοῦς, τῇ ἀληθέϊ καὶ ἀληθεῖ, τὴν ἀληθέα καὶ ἀληθῆ, ὦ ἀληθὲς καὶ ὦ ἀληθής. τὼ ἀληθέε καὶ ἀληθῆ, τοῖν ἀληθέοιν καὶ ἀληθοῖν, ὦ ἀληθέε καὶ ὦ ἀληθῆ. αἱ ἀληθέες καὶ ἀληθεῖς τῶν ἀληθέων καὶ ἀληθῶν, ταῖς ἀληθέσι, τὰς ἀληθέας καὶ ἀληθεῖς, ὦ ἀληθέες καὶ ὦ ἀληθεῖς.

τὸ τεῖχος, τοῦ τείχεος καὶ τείχους, τῷ τείχεϊ καὶ τείχει, τὸ τεῖχος, ὦ τεῖχος. τὼ τείχεε καὶ τείχη, τοῖν τειχέοιν καὶ τειχοῖν, ὦ τείχεε καὶ ὦ τείχη. τὰ τείχεα καὶ τείχη, τῶν τειχέων καὶ τειχῶν, τοῖς τείχεσι. τὰ τείχεα καὶ τείχη, ὦ τείχεα καὶ ὦ τείχη.

τὸ ἀληθὲς τοῦ ἀληθέος καὶ ἀληθοῦς, τῷ ἀληθέϊ καὶ ἀληθεῖ, τὸ ἀληθὲς, ὦ ἀληθές. τὼ ἀληθέε καὶ ἀληθῆ. τοῖν ἀληθέοιν καὶ ληθοῖν ὦ ἀληθέε καὶ ὦ ἀληθῆ. τὰ ἀληθέα καὶ ἀληθῆ, τῶν ἀληθέων καὶ ἀληθῶν, τοῖς ἀληθέσι, τὰ ἀληθέα καὶ ἀληθῆ, ὦ ἀληθέα καὶ ἀληθῆ

linis & fœmininis, & neutris, uidelicet in ης per η deſinentium maſculinorum & fœmininorum, & in ες aut in ος deſinentium neutrorum, quorum genitiuus cum per εος inæquiſyllabicus ſit in ους æquiſyllabicè facit contractum.

Demoſthenes demoſthenis & demoſthenis, Demoſtheni & demoſtheni, demoſthenem & demoſthenem, ò demoſthenes & demoſthenes. Dual. *Demoſthenes & demoſthenes demoſthenum & ſthenũ et ibus & ibus, ò demoſthenes & ò demoſthenes.* Plural. *Demoſthenes et demoſthenes, demoſthenũ et demoſthenum, demoſthenibus, demoſthenes & demoſthenes, ò demoſthenes & demoſthenes.*

Vera uerae, & uerę, ueræ & uerę, ueram & ueram, ò uera & ò uera. Dual. uerę & ueræ uerarum & uerarum & ueris et ueris, ò ueræ & ò uerę. Plural. ueræ & uerę, uerarum & uerarum, ueris ueras & ueras, ò ueræ & ò ueræ.

Ego, mei, mihi, me. Vocatiuos primatiua pronomina non habent. Nominatiuus & Accuſat. Dua. nos & nos. Genitiuus & datiuus dualium noſtri & nobis, noſtri & nobis. Plural. nos noſtri nobit, nos.

Vt declinatur Tu pronomen? ſic.

πῶς κλίνεται ἡ σὺ ἀντωνυμία; οὕτως·

σὺ σοῦ σοὶ σέ. ἡ εὐθεῖα τῶν δυϊκῶν, σφῶϊ καὶ σφῷ· ἡ γενικὴ καὶ δοτικὴ τῶν δυϊκῶν, σφῶϊν καὶ σφῷν. τὰ πληθυντικὰ, ὑμεῖς ὑμῶν ὑμῖν ὑμᾶς·

πῶς κλίνεται ἡ ὃς ἀντωνυμία; οὕτως·

ὃς ἄχρηστον ἀντὶ τῆς εὐθείας, ἀντὶ δὲ τῶν ἄλλων πτώσεων ἐν χρήσει. ἡ γενική· οὗ, ἡ δοτική. οἷ, ἡ αἰτιατικὴ ἕ. ἐν τοῖς δυϊκοῖς, σφῶε, καὶ σφὲ ἀντὶ αἰτιατικῆς μόνον, καὶ σφὶν ἀντὶ τῆς δοτικῆς. τὰ πληθυντικὰ, σφέες, σφεῖς. σφέων σφῶν. σφίσι σφέας σφᾶς.

πόσαι κτητικαί; ὀκτὼ ἀπὸ τῶν εἰρημένων πρωτοτύπων παραγενόμεναι, ὧν ἑκάστη τριχῶς κατὰ τὰ γένη λέγεται.

ὅταν εἷς μόνος ἔχῃ τὸ κτῆμα, ἀπὸ τῶν ἑνικῶν τῆς ἐγὼ ἀντωνυμίας, ὁ ἐμὸς, ἡ ἐμὴ, τὸ ἐμόν. ὅταν δύο μετέχωσι τοῦ κτήματος, ἀπὸ τῶν δυϊκῶν. ὁ νωΐτερος ἡ νωϊτέρα τὸ νωΐτερον. ὅταν πλείους μετέχωσι τοῦ κτήματος, ἀπὸ τῶν πληθυντικῶν, ὁ ἡμέτερος ἡ ἡμετέρα τὸ ἡμέτερον.

ἀπὸ τῆς σὺ ἀντωνυμίας, ὁ σὸς ἡ σὴ τὸ σὸν, ὁ σφωΐτερος, ἡ σφωϊτέρα, τὸ σφωΐτερον. ὁ ὑμέτερος, ἡ ὑμετέρα, τὸ ὑμέτερον.

ἀπὸ τῆς ὃς ἀντωνυμίας, ὅτε εἷς ἔχῃ τὸ κτῆμα. ὁ ἑὸς, ἡ ἑὴ, τὸ ἑόν. ὅταν δύο μετέχωσι τοῦ κτήματος, οὐκ ἔχει. ὅτε πλείους μετέχωσι τοῦ κτήματος. ὁ σφέτερος, ἡ σφετέρα τὸ σφέτερον. ὥστε κτητικαὶ, ὡς εἴρηται, ἀντωνυμίαι ὀκτὼ, ἐμὸς, σός, ἑὸς, νωΐτερος, σφωΐτερος, ἡμέτερος διὰ τοῦ η, καὶ ὑμέτερος διὰ τοῦ υ ψιλοῦ, καὶ σφέτερος. κλίνονται δὲ πᾶσι ἀπαραλ-

Vt declinatur Tu pronomen? ſic.

Tu tui tibi te. Nominatiuus dualium, uos & uos, genitiuus & datiuus dualium ueſtri & uobis, ueſtri & uobis. Plura. uos, ueſtri, uobis, uos.

Vt declinatur ſuus pronomen? ſic.

Suus inuſitatum eſt in nominatiuo, in alijs uerò caſibus in uſu eſt. Genitiuus ſui. Datiuus ſibi. Accuſatiuus ſe. In dualibus ſe & ſe in accuſatiuo tantum, & ſibi in datiuo. Plura. ſui ſui, ſui, ſui, ſibi, ſe ſe.

Quot ſunt poſſeſſiua? octo à dictis primatiuis deducta, quorum unumquodque per tria genera uariatur.

Vbi unicus ſit qui poſſidet, à ſingularibus ab ego pronomine, meus mea meum. ubi duo ſint qui communia inter ſe habeant bona, à dualibus, noſter de duobus noſtra noſtrum. ubi plures inter ſe poſſideant à pluralibus, meus mea meum.

A pronomine Tu, tuus tua tuum, ueſter de duobus, ueſtra ueſtrum, ueſter ueſtra ueſtrum.

A pronomine ſuus, ubi unus ſit qui poſſidet, ſuus ſua ſuum, ubi duo ſint qui communia inter ſe habeant bona, non habet, ubi plures inter ſe poſſideant, ſuus ſua ſuum. Proinde poſſeſſiua, ut dictum eſt pronomina octo, meus tuus ſuus noſter duorum & ueſter duorum, noſter per u, & ueſter per u tenue, & ſuus. Declinantur uerò omnia nihil com

λέκτως καὶ τὰς τῶν ὀνομάτων κλίσεις, ἐκείνοις ὑποπίπτουσαι.

πόσαι δεικτικαί; δύο· οὗτος, οὗ τὸ θηλυκὸν αὕτη, τὸ οὐδέτερον τοῦτο. καὶ ἐκεῖνος, οὗ τὸ θηλυκὸν ἐκείνη, τὸ οὐδέτερον ἐκεῖνο. χρώμεθα δὲ τῷ ἐκεῖνος ἀντὶ τῆς ῥηθείσης πρωτοτύπου ἀντωνυμίας ὅς, διὰ τὸ ἐκείνην εἶναι ἄχρηστον, τὸ ἐκεῖνος δὲ καὶ ὄνομα ἀναφορικὸν λέγεται. κλίνεται δὲ ἡ οὗτος ἀντωνυμία οὕτως.

οὗτος, τούτου, τούτῳ, τοῦτον. ὦ οὗτος. τὰ δυϊκά· τούτω, τούτοιν, ὦ τούτω· τὰ πληθυντικά· οὗτοι τούτων, τούτοις, τούτους, ὦ οὗτοι.

τὸ θηλυκόν, αὕτη, ταύτης, ταύτῃ, ταύτην. ὦ αὕτη. τὰ δυϊκά, ταῦτα, ταύταιν, ὦ ταῦτα· τὰ πληθυντικά αὗται, τούτων ταύταις, ταύτας ὦ αὗται.

τὸ οὐδέτερον, τοῦτο, τούτου, τούτῳ, τοῦτο, ὦ τοῦτο· τὰ δυϊκά, τούτω, τούτοιν, ὦ τούτω· τὰ πληθυντικά, ταῦτα, τούτων, τούτοις, ταῦτα, ὦ ταῦτα.

ὁ ἐκεῖνος καὶ ἡ ἐκείνη, καὶ τὸ ἐκεῖνο ταῖς κλίσεσι τῶν ὀνομάτων ὑποπέπτωκε.

πόσαι ἐπιταγματικαί; μία, ἐπὶ τῶν τριῶν γενῶν λεγομένη. λαμβάνεται δὲ καὶ ἐπὶ τῶν τριῶν προσώπων, οἷον αὐτὸς ἀντὶ τοῦ ἐγώ, καὶ ἀντὶ τοῦ σύ, καὶ ἀντὶ τοῦ ἐκεῖνος, καὶ αὐτὴ ἐπὶ τοῦ θηλυκοῦ, καὶ αὐτὸ ἐπὶ τοῦ οὐδετέρου, καὶ ταῦτα δὲ καὶ ταῖς κλίσεσι τῶν ὀνομάτων ὑποπέπτωκε.

πόσαι σύνθετοι ἀντωνυμίαι; τρεῖς. ἑκάστη ἐπὶ τῶν τριῶν γενῶν λεγομένη. διότι δὲ ἐπὶ ἀλλοπαθείας λαμβάνεται, εὐθείας ἔχουσι αἱ γενικαὶ δὲ τούτων

mutando iuxta nominum declinationes, illis ſub-iacentia.

Quot ſunt demonſtratiua? Duo, hic, cuius fœmin. hæc. Neutrum, hoc, & ille, cuius fœmininum illa, Neutrum illud. Vtimur autem ille pro dicto primitiuo pronomine ſuus, quòd illud ſuus ſit inuſitatum. Porrò ille etiam nomẽ relatiuum dicitur. Declinantur uerò pronomen hic, hoc modo.

Maſcu. Singu. Hic, huius, huic, hunc, ò hic. Dualia, hi horum & his, ò hi. Pluralia, hi horum his hos, ò hi.

Fœmin. Singu. Hæc huius huic hanc. Dualia, Hæ harum & his, ò hæ. Pluralia hæ harum his has ò hæ.

Neut. Sing. Hoc huius huic hoc, ò hoc. Dualia, hæc horum & his, hæc ò hæc. Pluralia, hæc horum his hæc ò hæc.

Maſcu. Ille. Fœmi. illa. Neut. illud, declinationibus nominum ſubiacet.

Quot ſunt Appoſitiua? Vnum, quod per tria genera dicitur. Accipitur uerò & in tribus perſonis, ut ipſe pro ego, & pro tu, & pro ille, & ipſa in fœminino, & ipſum in neutro. Verum & hæc declinationibus nominum ſubiacent.

Quot ſunt compoſita pronomina? Tria, quorum unumquodque per tria genera dicitur. Quod autem in nata à ſe paſſione ſumãtur, nominatiuos non habent.

ἐμαυτοῦ, σαυτοῦ, καὶ ἑαυτοῦ· τὰ θηλυκὰ ἐμαυτῆς, σαυτῆς καὶ ἑαυτῆς· τὰ οὐδέτερα ἐμαυτοῦ, σαυτοῦ, καὶ ἑαυτοῦ, καὶ ταῦτα δὲ ταῖς κλίσεσι τῶν ὀνομάτων ὑποπέπτωκε.

ἡ ἐμαυτοῦ δὲ καὶ σαυτοῦ, ἐν τοῖς πληθυντικοῖς οὐ κατὰ σύνθεσιν ἀλλὰ διῃρημένως κλίνονται· οἷον ἡμῶν αὐτῶν ἡμῖν αὐτοῖς, ἡμᾶς αὐτούς. ἡ δὲ ἑαυτοῦ καὶ κατὰ συναίρεσιν καὶ διῃρημένως κλίνεται, καὶ γὰρ ἑαυτῶν καὶ σφῶν αὐτῶν, καὶ σφίσιν αὐτοῖς, καὶ ἑαυτοῖς, καὶ σφᾶς αὐτούς, καὶ ἑαυτούς, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

περὶ προθέσεως.

πόσαι προθέσεις; δέκα καὶ ὀκτώ· μονοσύλλαβοι μὲν ἕξ· ἐν, εἰς, ἐξ, σὺν, πρὸς, πρό.
δισύλλαβοι δὲ δύο καὶ δέκα· ἀνὰ, κατὰ, διὰ, μετὰ, παρὰ, ἀντὶ, ἐπὶ, περὶ, ἀμφὶ, ἀπὸ, ὑπὸ, ὑπέρ.

ἰστέον ὅτι καί τινα ἐπιρρήματα ἀντὶ προθέσεων λαμβάνονται, ἃ ὡς ἐπὶ τὸ πλεῖστον τῇ γενικῇ συντάσσεται· οἷον ἄνευ μέχρι, καὶ τὰ λοιπά.

περὶ ἐπιρρήματος.

ποσαχῶς τὰ ἐπιρρήματα; πολλαχῶς· ἢ γὰρ χρόνου δηλωτικά ἐστιν, οἷον, νῦν, τότε, αὖθις, τόφρα, ὄφρα, τέως, ἕως, πηνίκα, ἡνίκα, ἄψ, ἔπειτα, μετέπειτα. ἢ καιροῦ παραστατικά, οἷον σήμερον, αὔριον, χθὲς, ὃ καὶ ἐχθὲς λέγεται. ἢ μεσότητος οἷον καλῶς, σοφῶς. ἢ ποσότητος, οἷον δὶς, τρὶς, τετράκις, πεντάκις, πολλάκις, ὀλιγάκις.
ἢ ποιότητος οἷον βοτρυδὸν, ἀγεληδόν.
ἢ τοπικά, οἷον ἄνω, κάτω, ἔξω, ἔσω, πόρρω, ἐνώπιον, κατὰ μόνας, χαμαὶ, ἔνθεν, ἔνθα, ὅθεν, ἐπέ-

Genitiuus uerò horum meiipſius, tuiipſius, & ſuiipſius Fœmi. meipſius, tuipſius, & ſuipſius. Neutra meiipſius, tuiipſius, & ſuiipſius, & hæc declinationibus nominum ſubiacent.

Cæterum meiipſius & tuiipſius in pluralibus non compoſitè ſed diſiunctim declinantur, ut noſtri ipſorum, nobis ipſis, nos ipſos. Suiipſius autem & per contractionem & diſiunctim declinantur. Etenim ſuiipſorum & ſuiipſorum, et ſibiipſis et ſibi ipſis & ſeipſos, & ſeipſos, & in aliis ſimiliter.

De Præpoſitione.

Quot ſunt præpoſitiones? decem & octo. Monoſyllabæ quidem ſex, in in ex cum ad ante. diſſyllabæ uerò duodecim, per ſecũdum per cum apud contra in de circum ab ſub ſuper.

Sciendum quòd & quædam aduerbia pro præpoſitionibus ſumuntur, quæ ferè cum genitiuo conſtruuntur, ut ſine, uſque, & reliqua.

De Aduerbia.

Quot modis aduerbia dicuntur? Multis ſanè. Aut enim temporis ſignificatiua ſunt, ut nunc, tunc, rurſus, tum, dum, tantiſper, donec, quando, quum, rurſus, deinde, deinceps, aut occaſionis repræſentatiua, ut hodie, cras, heri, quod & heri dicitur.

Aut mediocritatis, ut pulchrè, ſapienter, aut quantitatis, ut bis, ter, quater, quinquies, ſæpe, raro.

Aut qualitatis, ut racematim, gregatim.

Aut localia, ut ſurſum, deorſum, foris, intus, procul, coram, ſingulatim, humi, inde ubi, unde, ul-

κεινα, μακρὰν· τῶν δὲ τοπικῶν σχέσεις εἰσὶ τρεῖς, ἢ ἐν τόπῳ ἢ εἰς τόπον, ἢ ἐκ τόπου, οἷον οἴκοι, οἴκαδε, οἴκοθεν. ἢ εὐχῆς σημαντικὰ, οἷον εἴθε, αἴθε, ὄφελον. ἢ σχετλιαστικὰ, οἷον οὐαὶ, ἰοῦ, ὤμοι, παπαί. ἢ θαυμαστικὰ, οἷον βαβαὶ, φεῦ. ἢ ἀρνητικὰ οἷον οὐ, οὐδαμῶς, οὔκουν, ἢ παραβολῆς, ἢ ὁμοιώσεως, οἷον ὡς, ὥσπερ, καθὰ, καθάπερ, ἠΰ, ἠΰτε. ἢ εἰκασμοῦ οἷον ἴσως, τάχα, τυχόν. ἢ τάξεως οἷον ἑξῆς, ἐφεξῆς. ἢ ἀθροίσεως, οἷον ἄρδην ἅμα. ἢ παρακελεύσεως, οἷον ἄγε, φέρε, δεῦτε, εἶα, δεῦρο, ἴθι. ἢ συγκρίσεως, οἷον μᾶλλον, ἧττον. ἢ ἐρωτήσεως, οἷον πόθεν, ποῦ, πηνίκα, πῶς. ἢ ἐπιτάσεως, οἷον ἄγαν, πάνυ, μάλιστα, σφόδρα. ἢ βεβαιώσεως, οἷον δηλαδὴ, δήπουθεν, πάντως, ὄντως. ἢ θετικὰ, οἷον ἀναγνωστέον, πλευστέον. ἢ κατωμοτικὰ, οἷον νὴ, ναί. ἢ ἀπωμοτικὰ, οἷον μά. ἢ θειασμοῦ, οἷον εὐοῖ, εὐαί.

περὶ συνδέσμων.

πόσαι τρόποι τῶν συνδέσμων; ὀκτώ. οἱ μὲν γάρ εἰσι συμπλεκτικοὶ, οἱ δὲ διαζευκτικοὶ, οἱ δὲ συναπτικοὶ, οἱ δὲ παρασυναπτικοὶ, οἱ δὲ αἰτιολογικοὶ, οἱ δὲ ἀπορηματικοὶ, οἱ δὲ συλλογιστικοὶ, οἱ δὲ παραπληρωματικοί.

τίνες εἰσὶ συμπλεκτικοί; ὅσοι τὴν ἑρμηνείαν ἐπ' ἄπειρον ἐκφερομένην συνδοῦσιν. εἰσὶ δὲ οἵδε, μὲν, δέ, τέ, καὶ ἀλλὰ, ἠμὲν ἠδὲ, ἰδὲ, ἀτὰρ, αὐτὰρ, ἤτοι μὲν, αὖ.

τίνες εἰσὶ διαζευκτικοί; ὅσοι τὴν μὲν φράσιν συνδοῦσιν, ἀπὸ δὲ πράγματος εἰς πρᾶγμα διϊστῶ-

tra, longe. Porrò localium diſpoſitiones ſunt tres, aut in loco, aut ad locum, aut ex loco, ut domi domum domo. Aut uoti ſignificatiua, ut utinam utinam, utinam. Aut lamentatoria, ut uæ, uæ, heu, papæ. Aut admiratiua, ut papæ, heu. Aut negatiua, ut non, haudquaquam, nõ igitur. Aut comparationis ſiue ſimilitudinis, ut ſicut, quemadmodũ, ut perinde, atque, ceu, tanquam. Aut euentus, ut forte, fortaſſe, fortaſſis. Aut ordinis, ut deinde deinceps. Aut congregationis, ut ſimul, unà. Aut adhortationis, ut age, age, adeſte, eia, ehodum, age. Aut congregationis, ut magis, minus. Aut interrogationis, ut unde, ubi, quando, quomodo. Aut intentionis, aut nimis, ualde, maxime, multum. Aut affirmationis, ut uidelicet, profectò, omnino, reuera. Aut poſitiua, ut legendum eſt, nauigandum eſt. Aut iuratiua, ut per, næ. Aut abiuratiua, ut non per. Aut afflatus, ut euoe, euan.

De Coniunctionibus.

Quot ſunt modi coniunctionum? octo. Alię enim ſunt copulatiuæ, aliæ diſiunctiuæ, alię continuatiuæ, aliæ ſubiunctiuæ, aliæ cauſales, aliæ dubitatiuæ, aliæ rationales, aliæ completiue.

Quæ ſunt copulatiuæ? quæ interpretationem in immenſum prolatum coniungunt. Sunt autem hæ, quidem, uerò, φ, &, ſed, &, atque, atque, ſed, ſed, uerum, quidem utique.

Quæ ſunt diſiunctiuę? quę phraſin quidem coniungunt, à re tamen rem ſeparant,

σιν, εἰσὶ δὲ οἵδε ἤ, ἤτοι, ἠέ.

τίνες εἰσὶ συναπτικοί; ὅσοι ὕπαρξιν μὲν οὐ δηλοῦσι, σημαίνουσι δὲ ἀκολουθίαν καὶ τάξιν. εἰσὶ δὲ οἵδε, εἰ, εἴπερ, εἰδή, εἰδήπερ.

τίνες εἰσὶ παρασυναπτικοί; ὅσοι μεθ' ὑπάρξεως καὶ τάξιν δηλοῦσιν. εἰσὶ δὲ οἵδε. ἐπεὶ ἐπείπερ, ἐπειδὴ, ἐπειδήπερ.

τίνες εἰσὶν αἰτιολογικοί; ὅσοι ἐπ' ἀποδόσει αἰτίας παραλαμβάνονται, εἰσὶ δὲ οἵδε. ἵνα ὄφρα, ὅπως, ἕνεκα, οὕνεκα, γάρ, καθὸ, καθότι, καθόσον, καὶ διό, διότι παρὰ τοῖς νῦν, ἃ οἱ παλαιοὶ διῄρουν.

τίνες εἰσὶν ἀπορηματικοί; ὅσοις ἐπαποροῦντες εἰώθαμεν χρῆσθαι. εἰσὶ δὲ οἵδε ἆρα, κᾆτα, μῶν.

τίνες εἰσὶ συλλογιστικοί; ὅσοι πρὸς τὰς ἐπιφορὰς τε καὶ συλλήψεις τῶν ἀποδείξεων εὖ διάκεινται, εἰσὶ δὲ οἵδε. ἄρα, ἀλλὰ, ἀλλαμὴν, τοίνυν, τοιγάρτοι, τοιγαροῦν.

τίνες εἰσὶ παραπληρωματικοί; ὅσοι μέτρου ἢ κόσμου ἕνεκεν παραλαμβάνονται. εἰσὶ δὲ οἵδε, δή, ῥα, νύ, ὁ καὶ νῦν γράφεται, ἀφ' οὗ τὸ τοίνυν, ποῦ, τοί, θήν, ἄρ, δῆτα, πέρ, πῶ, μὴν, ἄν, αὖ, οὖν, κέν, γέ.

τινὲς δὲ προστιθέασι καὶ ἐναντιωματικούς. τίνες εἰσὶν ἐναντιωματικοί; οἱ δηλοῦντές τι ἐναντίον τῇ δυνάμει τοῦ πράγματος, οἷον ἔμπης, ὅμως.

ἰστέον ὅτι πολλοὶ σύνδεσμοι οἱ αὐτοὶ ὄντες πολλῶν τρόπων λέγονται, ὡς ὁ ἀλλὰ, καὶ συμπλεκτικὸς, καὶ συλλογιστικός· ὁ αὖ καὶ συμπλεκτικὸς καὶ παραπληρωματικός.

περὶ συγκριτικοῦ ὀνόματος.

ſunt autem hæ,uel,aut,ſiue.

Quæ ſunt continuatiuæ? quæ rem quidem non declarant,at ſignificant conſequentiam & ordinem,ſunt autem hæ,ſi, ſiquidem, ſi ſanè, ſi ſanè.

Quæ ſunt ſubiunctiuæ? quæ cum re etiam ordinem declarant,ſunt uerò hæ, quando, quoniam,poſtquàm poſteaquàm.

Quæ ſunt cauſales? quæ ob redditionem cauſæ aſſumuntur.Sunt autem hæ,ut ut ut.
ergò ergò enim ꝙ quòd inquantum & propterea ꝙ propterea ꝙ recentioribus,quæ ueteres diuidebant.

Quæ ſunt dubitatiuæ? quibus hæſitantes conſueuimus uti,ſunt autem hæ,an deinde num.

Quæ ſunt rationales? quæ & ad illationes & ad concluſiones demonſtrationum bene appoſitæ ſunt. Sunt uerò hæ,certè ſed uerum igitur proinde ergo.

Quæ ſunt completiuæ? quæ metri ornatusve cauſa aſſumuntur. Sunt autem hæ, ſanè nempè quidem quod,& quidem ſcribitur,a quo igitur tandem quidē quidem utique ſanè quidem tandem quidem quidē rurſus igitur quidem quidem.

Quidam uerò addunt & aduerſatiuas. quæ ſunt aduerſatiuę? declarantes quiddam contrarium poteſtati rei,ut tamen,tamen,quanquàm,etſi.

Sciendum quod multæ coniunctiones eædē in multis modis leguntur, ut ἀλλὰ & copulatiua & rationalis, αὖ & copulatiua & completiua.

De Nomine comparatiuo.

συγκριτικὸν ὄνομά ἐστι, δι' οὗ σύγκρισις γίνεται πρὸς ὁμογενεῖς, οἷον ὁ ἀχιλλεὺς, ἰσχυρότερος τῶν δαναῶν, ἢ πρὸς ἑτερογενεῖς, οἷον ἕκτωρ τολμηρότερος τῶν κεφαλλήνων.

οἱ τύποι τῶν συγκριτικῶν δύο εἰσὶν, ἢ γὰρ εἰς ων, οἷον μείζων, ἢ εἰς ρος, οἷον πλουσιώτερος.

τῶν ὀνομάτων τῶν εἰς ος ληγόντων, εἰ μὲν μακρὰ εἴη ἡ παραλήγουσα φύσει ἢ θέσει, τότε τὸ ἔσχατον εἰς ο μικρὸν μένει, καὶ εἰς τερος, ποιεῖ τὸ συγκριτικὸν, οἷον ἔνδοξος ἐνδοξότερος παλαιὸς παλαιότερος, πρᾶος πραότερος, εἰ δὲ βραχεῖα εἴη τὸ ο μικρὸν εἰς ω μέγα τρέπεται, οἷον ὠφέλιμος ὠφελιμώτερος, νέος νεώτερος σοφὸς σοφώτερος.

ὁμοίως καὶ τὰ ὑπερθετικὰ προσθέσει τοῦ τατος σχηματίζονται, οἷον ἔνδοξος ἐνδοξότατος, παλαιὸς παλαιότατος, νέος νεώτατος, ὠφέλιμος ὠφελιμώτατος, πλήν.

μέγας	μείζων	μέγιστος
καλὸς	καλλίων	κάλλιστος
	ἀμείνων ἢ	ἄριστος
ἀγαθὸς	βελτίων ἢ	βέλτιστος
	κρείττων	κράτιστος
πολὺς	πλείων	πλεῖστος
κακὸς	κακίων ἢ χείρων	κάκιστος.

μικρὸς μείων ἢ ἥττων ἢ ἐλάττων ἐλάχιστος.

αἰσχρὸς	αἰσχίων	αἴσχιστος.
ἐχθρὸς	ἐχθίων	ἔχθιστος.
ῥᾴδιος	ῥᾴων	ῥᾷστος.

φίλος δὲ κατὰ συγκοπὴν ποιεῖ φίλτατος.

τὰ δὲ

Comparatiuum nomē eſt,per quod comparatio fit ad homines eiuſdem gentis,ut Achilles eſt fortior Græcis,aut ad homines diuerſæ gentis,ut Hector erat audacior Cephalenenſibus.

Formæ comparatiuorum duæ ſunt,aut enim in ωr ut maior,aut in ρος ut ditior.

Nominum in os deſinentium ſi quidem longa ſitpenultima natura aut poſitus, tunc poſtremum in o paruum manet,& in τερος facit comparatiuum, ut clarus clarior, antiquus antiquior, manſuetus manſuetior. Sin autem breuis ſit tunc o paruum in ω magnum uertitur,ut utilis utilior, iuuenis iunior, ſapiens ſapientior.

Similiter & ſuperlatiua, additione τατος formantur, ut clarior clariſſimus, antiquus antiquiſſimus,iuuenis maximè iuuenis, utilis utiliſſimus, præterquàm

Magnus	maior	maximus
Pulcher	pulchrior	pulcherrimus
	melior	optimus
Bonus	melior aut	optimus
	melior aut	optimus
Multus	copioſior	plurimus
Malus	peior aut peior	peſſimus.
Paruus	minor aut minor aut minor	minimus
turpis	turpior	turpiſſimus
inimicus	inimicior	inimiciſſimus
facilis	facilior	facillimus.

Amicus autem per ſyncopen facit amiciſſimus.

τὰ δὲ εἰς ης, διὰ τοῦ ους, τὴν γενικὴν ποιοῦντα, ἀπὸ τοῦ ἰδίου οὐδετέρου εἰς ον, τὸ συγκριτικὸν καὶ τὸ ὑπερθετικὸν ποιεῖ, οἷον ἀληθὴς, ἀληθέστερος, ἀληθέστατος· θεοφιλὴς, θεοφιλέστερος, θεοφιλέστατος· ἀκριβὴς ἀκριβέστερος, ἀκριβέστατος·

τὰ δὲ εἰς υς διὰ τοῦ υτερος τὸ συγκριτικὸν καὶ διὰ τοῦ υτατος, τὸ ὑπερθετικὸν ποιεῖ, οἷον βραχὺς, βραχύτερος, βραχύτατος, γλυκὺς, γλυκύτερος, γλυκύτατος· ταῦτα μέντοι ποιοῦσι·

ἡδὺς	ἡδίων	ἥδιστος
ταχὺς	ταχύτερος ἢ ταχίων	τάχιστος

τὰ δὲ ἄλλα εἰς ἄλλο τι λήγοντα, ὡς ἐπὶ τὸ πλεῖστον εἰς εστερος, καὶ εἰς εστατος· ποιεῖ, οἷον·

χαρίεις	χαριέστερος	χαριέστατος
σώφρων	σωφρονέστερος	σωφρονέστατος.
εὔνους	εὐνούστερος	εὐνούστατος.

τὰ συγκριτικὰ τῇ γενικῇ συντάσσεται, καὶ τῇ δοτικῇ σημαίνουσιν ὑπερβολὴν, οἷον ἀνδρόνικος μείζων ἐστὶ θεοδώρου ἑνὶ δακτύλῳ·

περὶ χρόνων·

τὰ θηλυκὰ εἰς α, εἰ μὲν ὀξύτονα ἢ περισπώμενα εἴη τὸ α, ἐκτείνει, οἷον χαρὰ, ἀθηνᾶ, πρὸ περισπώμενα δὲ καὶ παροξύτονα συστέλλει, οἷον μοῦσα, δόξα· ἐὰν δὲ ἀρσενικὸν ἔχῃ, ἐπὶ τέλει τοῦ ἰδίου ἀρσενικοῦ ἐν τῇ γενικῇ ὁμοχρονεῖ, οἷον οἰκεῖος, οἰκείου, οἰκεία· βαρὺς, βαρέος, βαρεῖα. εἰ δὲ ἀπὸ τῶν εἰς ευω ῥημάτων γίνεται, μακροκαταληκτεῖ, οἷον βασιλεύω, βασιλεία.

τὰ δὲ εἰς αια δισύλλαβα μὲν βραχὺ τὸ α, ἔχει

Porrò in ης, per ους genitiuum ſacientia, à ſuo neutro in ὲς comparatiuum & ſuperlatiuum faciunt, ut uerus uerior uerißimus. Deo charus, deo charior, deo charißimus exactus, exactior exactißimus.

Verum in υς per υτερος comparatiuum, & per υτατος ſuperlatiuum faciunt, breuis breuior breuißimus, dulcis dulcior dulcißimus. Hæc tamen faciunt.

ſuauis ſuauior ſuauißimus
uelox uelocior aut uelocior uelocißimus

Cæterum alia in aliud quippiam deſinentia, ut plurimum in ες ερος & ες ατος faciunt, ut

gratioſus gratioſior gratioſißimus.
modeſtus modeſtior modeſtißimus
beneuolus beneuolentior beneuolentißimus.

Comparatiuo cum genitiuo conſtruuntur, & datiuo ſignificant exceſſum, ut Andronicus maior eſt Theodoro uno digito.

De temporibus.

Fœminina in α, ſiquidē acutitona aut circunflexa fuerint, α producunt ut gaudium, Minerua, ſed circunflexa in pen. aut penacutitona corrip. ut muſa, gloria. Sin autem maſculinum habeant, cum fine ſui maſcu. in genitiuo, tempore conuenit, ut proprius, prii, pria. moleſtus moleſti moleſta. Quod ſi à uerbis ὤν ια fiant in longam in penultima deſinunt, ut regno regnum.

In αια autem diſſyllaba quidem breue α habent,

οἷον γραῖα, μαῖα· πολυσύλλαβα δὲ μακρὸν, οἷον σύ-
λιωαία.

τὰ δὲ εἰς ρα, καὶ μονοφθόγγῳ παραληγόμενα μα-
κρὸν αὐτὸ ἔχει, οἷον πήρα, διφθόγγῳ δὲ παραληγό-
μενα βραχὺ, οἷον μοῖρα, πεῖρα.
τὰ δὲ εἰς δα, καὶ θα μακρύνει αὐτὸ, οἷον λήδα, μασαί-
τα. τὰ δὲ ἄλλα πάντα, βραχέα εἰσίν.

ὥστε συλλέγειν ἔξεστιν, ἅπαντα τὰ ὀξύτονα, καὶ
περισπώμενα θηλυκὰ, καὶ τὰ ἔχοντα ἀρσενικὸν, μα-
κροκατάληκτον τὴν γενικὴν, καὶ τὰ παρὰ τὸ εὖ
καὶ τὰ εἰς αια, πολυσύλλαβα, καὶ τὰ εἰς ρα, μονοφθόγ-
γῳ παραλήγοντα, καὶ τὰ εἰς δα. καὶ εἰς θα, καθόλου
μακρὸν τηρεῖν τὸ α, τὰ δὲ λοιπὰ, βραχύ.

κανόνες περὶ ψιλουμένων καὶ δα-
σιωομένων λέξεων.

πόσα πνεύματα; δύο, δασεῖα καὶ ψιλή.

πᾶσα λέξις ἀπὸ φωνήεντος ἢ διφθόγγου ἀρχο-
μένη δασιώεται ἢ ψιλοῦται, ἀπὸ δὲ τῶν συμφώνων
μόνον τὸ ρ, ἐν ἀρχῇ λέξεως ὂν, δασιώεται.

κανόνες καθόλου.

σημείωσαι καθόλου ἔντε τοῖς ὀνόμασι καὶ ὀνομα-
στικοῖς, ὅτι τὸ τῆς εὐθείας πνεῦμα φυλάσσεται, καὶ
ἐν τοῖς ἀπ᾽ ἐκείνης κλινομένοις, ὃ πνεῦμα κλίσεως
ἐν τοῖς ἀπ᾽ ἐκείνης λεγέσθω.

καὶ ἐν τοῖς ῥήμασι δὲ, τὸ πνεῦμα τοῦ θέματος
φυλάσσεται, καὶ ἐν τοῖς ἀπ᾽ ἐκείνου κλινομένοις, οἷον
ἁμαρτάνω, ἡμάρτανον, ἕλκω, εἷλκον, ὃ πνεῦμα
κλίσεως ἐν τοῖς ἀπ᾽ ἐκείνου λεγέσθω, πλὴν τοῦ ἔχω,
ἕξω. καὶ ἄλλομαι, ἧλθο.

ut anus, maia. Polyſyllaba uerò longum, ut luma.

In ρα & ſola uocali in penultima deſinentia, longum ipſum α habent ut pera, at que in diphth. in penultima deſinunt, breue ut parca, experientia.

In δα uerò & θα producunt ipſum, ut leda capræ nomen, alia autem omnia breuia fiunt.

Quare colligere licet, omnia acutitona & circunflexa fœminina & habentia maſculinum in longam in penult. deſinere genitiuum, & quæ fiunt ab ουα & polyſyllaba in αια & in ρα in penult. ſola uocali deſinentia, & in δα & in θα per omnia longum ſeruare α, reliqua uerò breue.

Canones de tenuibus & denſis dictionibus.

Quot ſunt ſpiritus? duo, denſus & tenuis.

Omnes dictio ò uocali aut diphthongo incipiens denſatur aut tenuatur. Et conſonantibus autem ſolum ρ, quando eſt in principio dictionis, denſatur.

Canones generales.

Nota uniuerſim & in nominibus & nominalibus, quòd nominatiui ſpiritus ſeruatur, & in ab illo declinatis, qui ſpiritus declinationis, in ijs quæ ab illa fiunt, dicatur.

Porrò & in uerbis ſpiritus thematis ſaruatur, & in ab illo declinatis, ut pecco peccabam, traho trahebam, qui ſpiritus declinationis, in ijs, quæ ab illo fiunt, dicatur, præter habeo habebo, & ſalio ſalierat.

ἔτι ἐπὶ τῶν ῥημάτων, τὸ ἐν τοῖς παρῳχημένοις ε, προερχόμενον καὶ ἀποπίπτον ψιλοῦται, τὸ δὲ προέρχεται μὲν, οὐκ ἀποπίπτει δέ, ὅπερ ἐπὶ τῶν παρακειμένου ἐνίοτε συμβαίνει, τὸ πνεῦμα τοῦ ἐνεστῶτος ἔχει, οἷον ἵστημι, ἕστακα, ἑστακώς. καὶ ταῦτα δὲ πνεύματα κλίσεως λεγέσθωσαν.

πᾶν ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον, δασύνεται.

πᾶσα ἀντωνυμία ἀπὸ μὲν τοῦ ε, ἀρχομένη, ψιλοῦται, πλὴν τῆς ἕ, καὶ τῶν ἐξ αὐτῆς. ἀπὸ δὲ ἄλλου φωνήεντος ἀρχομένη, δασύνεται, πλὴν τῆς αὐτὸς, καὶ τῶν ἀπ' αὐτῆς.

πᾶσα πρόθεσις ἀπὸ φωνήεντος ἀρχομένη ψιλοῦται, πλὴν τῆς ὑπὸ, καὶ ὑπέρ.

πᾶς σύνδεσμος ἀπὸ φωνήεντος ἀρχόμενος ψιλοῦται, πλὴν τῶν αἰτιολογικῶν. οἱ γὰρ αἰτιολογικοὶ πάντες δασύνονται, πλὴν τοῦ ὄφρα.

συνάγεται ἀπὸ τῶν εἰρημένων καθόλου περὶ τῶν μερῶν τοῦ λόγου. ὅτι δασύνεται πᾶν ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον, καὶ πᾶσα ἀντωνυμία ἀπὸ φωνήεντος. πλὴν τῆς αὐτὸς, καὶ πλὴν τῶν ἀπὸ τοῦ ε, ὡς εἴρηται, καὶ ἡ ὑπὸ πρόθεσις, καὶ ἡ ὑπὲρ, καὶ πάντες οἱ αἰτιολογικοὶ, πλὴν τοῦ ὄφρα.

ἕτεροι κανόνες καθόλου.

τὰ παράγωγα ἃ σώζει τὴν ἀρχὴν, τὸ πνεῦμα τοῦ ἰδίου πρωτοτύπου ἔχει, πλὴν τοῦ ἱδρὸς, ἀπὸ τοῦ ἰδίω τὸ κοπιῶ· ἅμυδις ἀντὶ τοῦ ἅμα, ἀπ' αὐτοῦ, ἁρμὸς ἀπὸ τοῦ εἴργω. καλείσθω δὲ πνεῦμα παραγωγῆς.

τὰ κατὰ ἀφαίρεσιν ψιλοῦ συμφώνου γινόμενα,

Adhæc, in uerbis in præteritis & indefinitis ε præcedens & ε xcidens tenuatur, quòd ſi præ eat quidem, neque excidat tamen, quod in præte. perfecto aliquando contingit, ſpiritum inſtanti habet, ut ſtatuo ſtatui qui ſtatuit, & hÿ ſpiritus declinationis dicantur.

Omnis articulus à uocali incipiens denſatur.

Omne pronomen ab ε incipiens tenuatur, præter ſe & ex illo facta, ſed ab alia conſonante incipiens denſatur, præter ipſe & ab illo facta.

Omnis præpoſitio à uocali incipiens tenuatur, pręter ſub & ſuper.

Omnis coniunctio à uocali incipiens tenuatur, præter cauſales. Cauſales enim omnes denſantur, præter dum.

Collìgitur ex dictis breuiter de partibus orationis, quòd denſetur omnis articulus à uocali incipiens, & omne pronomen à uocali, præter ipſe & præter ea quę ſunt ab ε, ut dictum eſt, & ſub præpoſitio, & ſuper, & omnes cauſales, præter dum.

Alÿ canones generales.

Deriuatiua ſi ſeruent initium ſpiritum ſui primitiui habent, præter ſudor a ſudo, id eſt laboro, ſimul pro ſimul ab ipſo factum, ſeries ab impedio. Vocetur uerò ſpiritus deriuationis. quæ per ablationem tenuis conſonantis fiunt

ἀναφορικὰ δασύνονται, οἷον πόσος, ὅσος πηνίκα, ἡνίκα, πλὴν τόφρα, ὄφρα, τῆμος, ἦμος.

τὰ αἰολικὰ πάντα ψιλοῦνται, οἱ γὰρ αἰολεῖς ἀγνοοῦσι τὴν δασεῖαν.

τὰ ἀριθμητικὰ πάντα δασύνονται, πλὴν τῶ ὀκτὼ καὶ ἐννέα, καὶ τῶν ἀπ' αὐτῶν. ἐν τούτοις σημείωσαι δασυνόμενα τὰ ἀριθμητικὰ, πλὴν τοῦ ὀκτὼ καὶ ἐννέα. τὰ γὰρ ἄλλα τοῖς κατὰ μέρος κανόσιν ὑποπίπτει.

τούτων ὑποκειμένων ἀμεταποιήτων, λοιπὸν λέγωμεν κατὰ μέρος ἕκαστον τῶν φωνηέντων, ἢ διφθόγγων. μετὰ πάντων τῶν γραμμάτων θεωροῦντες, σωζομένων προηγουμένως, τῶν εἰρημένων καθόλου κανόνων. τούτων γὰρ ἐξῃρημένων, τὰ λοιπὰ τοῖς κατὰ μέρος ὑποπίπτει, περὶ ὧν ἤδη λέγωμεν.

κανόνες κατὰ μέρος.

τὸ α, εἴτε ἐπίτασιν δηλοῖ, εἴτε στέρησιν, εἴτε ὁμοῦ εἴτε κακὸν, εἴτε ὀλίγον, εἴτε πλεονάζει, ψιλοῦται, πλὴν τοῦ ἅλυσις ἐκ τοῦ στερητικοῦ α, καὶ τοῦ λύω, καὶ ἅδης, ἐκ τοῦ α, στερητικοῦ, καὶ ἴδω. τὸ ἀθροιστικὸν α, δασύνεται οἷον ἅπας. τὸ α, πρὸ ἑαυτοῦ ψιλοῦται ἀεί. καὶ πρὸ τοῦ β, ψιλοῦται, εἰ μὴ τὸ ρ, ἐπιφέροιτο. καὶ πρὸ τοῦ γ, ψιλοῦται, πλὴν τοῦ ἁγνὸς, καὶ ἅγιος, καὶ τῶν ἀπὸ τούτων παρηγμένων, ὅπερ ἐπὶ πάντων τῶν ἐξαιρουμένων νοείσθω.

καὶ πρὸ τοῦ δ, ψιλοῦται, πλὴν τοῦ ἅδης, καὶ ἁδρός. καὶ πρὸ τοῦ ε, ψιλοῦται ἀεί. καὶ πρὸ τοῦ ζ, ψιλοῦται ἀεὶ, πλὴν τοῦ ἅζομαι τὸ σέβομαι. καὶ πρὸ τοῦ η, ψιλοῦται ἀεί. καὶ πρὸ τοῦ θ, ἢ ι, ἢ κ, ψιλοῦται ἀεί.

relatiua denſantur,ut tantus, quantus, quando quum præter tum dum tunc cum.

Æolica omnia tenuantur. *Æoles enim ignorant denſum ſpiritum.*

Numeralia omnia denſantur, *præterquàm octo & nouem,& ab his compoſita.* *In his nota denſata numeralia.* *præterquàm octo & nouem.* *Nam alia particularibus canonibus ſubiacent.*

His firmis fundamentis iactis, *deinceps dicamus,* *ſingulatim quamlibet uocalium aut diphthongorum cum omnibus literis* *reſpiciendo ſeruatis tamen dictis* *generalibus* *canonibus.* *His enim exceptis,reliqua particularibus ſubiacent,de quibus iam agamus,*

Canones particulares.

A ſiue intenſionem ſignet, *ſiue priuationem,ſiue ſimul,ſiue malum, ſiue parum, ſiue redundet, tenuatur,præter cathena ex* *priuatiuo α & ſoluo, & Pluto ex α priuatiuo,et uideam.Congregatiuũ α denſatur ut omnis.* *α ante ſeipſum tenuatur ſemper*
Et ante β tenuatur,niſi ρ inſeratur.
Et ante γ tenuatur, *præter caſtus & ſanctus & ab ys deducta,* *quod in omnibus ıxcepis intelligatur.*
Et ante δ tenuatur, *præter Pluto & adultus, & ante ε tenuatnr ſemper* *& ante ζ tenuatur ſemper,præter colo,id eſt colo.* *& ante η tenuatur ſemper.* *& ante θ aut ι aut κ tenuatur ſemper*

καὶ πρὸ τοῦ λ. ἢ ἑνὸς ἢ διπλοῦ, ψιλοῦται, εἰ μὴ τὸ μ, ἐπάγοιτο, καὶ πλὴν τοῦ ἅλς, ἁλῶ τὸ κρατῶ, ἅλις ἁλίζω, ἅλως, ἅλυσις, ἁλικαρνασὸς, ἅλλομαι. καὶ πρὸ τοῦ μ, ψιλοῦται, πλὴν τὸ ἅμα, ἁμαρτάνω. ἅμιλλα, ἅμμα τὸ σχοινίον, ἁμὶς, ἁμηγέπη. συμφώνου δὲ ἐπιφερομένου μετὰ τὸ μ, ἀεὶ ψιλοῦται. καὶ πρὸ τοῦ ν, ψιλοῦται, πλὴν τοῦ ἁνδάνω τὸ ἀρέσκω. καὶ πρὸ τοῦ ξ, πρὸ τοῦ ο ψιλοῦται ἀεί.

καὶ πρὸ τοῦ π, ψιλοῦται, πλὴν τοῦ ἅπας, ἁπλοῦς, ἅπαξ, ἁπαλὸς, ἅπτομαι. καὶ πρὸ τοῦ ρ, ψιλοῦται. εἰ μὴ τὸ μ, ἐπάγοιτο, ἢ τὸ π, καὶ πλὴν τοῦ ἁραιόν. καὶ πρὸ τοῦ σ, ψιλοῦται ἀεί. καὶ πρὸ τοῦ τ ψιλοῦται. πλὴν τοῦ ἅττα ἐπὶ τῆς σημασίας τοῦ ἅτινα, καὶ ἅτερος. καὶ πρὸ τοῦ υ, καὶ πρὸ τοῦ φ, καὶ πρὸ τοῦ χ, ψιλοῦται ἀεί. καὶ πρὸ τοῦ ψ, ψιλοῦται πλὴν τοῦ ἅψις, καὶ ἅψεα, τὰ μέλη. καὶ πρὸ τοῦ ω μεγάλου, ψιλοῦται ἀεί.

συνάγεται, ὅτι τὸ α, πρὸ παντὸς φωνήεντος ψιλοῦται ἀεί.

καὶ πρὸ συμφώνων τῶν θ, φ. χ, κ, σ, ξ, ψιλοῦται ἀεί. ὥστε δασυνόμενα τοῦ α, ἐν οἷς μετὰ τὸ β, ρ, ἐπάγοιτο, ἔτι ἁγνὸς, ἅγιος ἁδρὸς, ἅζομαι, ἅδης. ἐν οἷς μετὰ τὸ λ, μ, ἐπάγεται. ἔτι ἅλς, ἁλῶ τὸ κρατῶ ἅλις, ἁλίζω, ἅλως, ἅλυσις, ἁλικαρνασὸς, ἅλλομαι ἅμα, ἁμαρτάνω, ἅμιλλα, ἅμμα τὸ σχοινίον, ἁμὶς, ἁμιγέπη, ἁνδάνω, ἅπαξ, ἅπας, ἁπλοῦς, ἁπαλὸς, ἅπτομαι, ἐν οἷς μετὰ τὸ ρ, μ, ἐπάγεται, ἢ τὸ π, ἔτι ἁραιὸν, ἅττα, ἅτερος, ἅψις, ἅψεα.

τὸ ε, πλεονάζον ἐν ἀρχῇ λέξεως. τὸ τοῦ ἔπο-

Et ante λ aut unicum aut geminum, tenuatur, niſi μ inſequatur & præter ſal capio, id eſt capio, ſatis, ſalio area halicarnaſus ſalio.

& ante μ tenuatur, præter ſimul pereo certamen, funis, id eſt funis matula, aliquo modo, conſonante autem inſerta cum μ ſemper tenuatur. & ante ν tenuatur, præter placeo, ideſt placeo. & ante ξ & ante ο tenuatur ſemper. & ante π tenuatur, præter omnis ſimplex ſemel tener tango. & ante ρ tenuatur, niſi μ ſequatur aut π & præter tenue. & ante σ tenuatur ſemper. & ante τ tenuatur præter quæ: in ſignificatione quæ & alter. & ante υ, & ante φ, & ante χ tenuatur ſemper. & ante ψ tenuatur, præter curuatura rotæ, & membra. i. membra. & ante ω magnum tenuetur ſemper.

Colligitur quòd α ante omnem uocalem tenuetur ſemper.

Et ante conſonantes θ, φ, χ, κ, σ, ξ, tenuatur ſemper. Quare quæ denſantur ipſius α ſunt hęc, in quibus poſt β, ρ, inſequitur, præterea caſtus, ſanctus, adultus, colo, Pluto, in quibus poſt λ inſequitur μ, adhæc ſal capio ideſt capio, ſatis ſalio area cathena halicarnaſus ſalio ſimul pecco certamen funis, id eſt funis matula, aliquo modo placeo ſemel omnis ſimplex tener tango, in quibus poſt ρ μ inſequitur aut π, adhæc tenue, quę, alter, curuatura rotæ, membra.

E redundans in initio dictionis, ſta

μένου πνεῦμα λαμβάνει. οἷον, ὥρων, ἑώρων. εἴκοσιν ἐείκοσιν. τὸ ε, πρὸ τοῦ α δασύνεται, πλὴν τοῦ ἐὰν, καὶ ἐάω. πρὸ τοῦ β, ψιλοῦται, πλὴν τοῦ ἑβραῖος· πρὸ τοῦ γ, ψιλοῦται, ἀεί·

πρὸ τοῦ δ, ψιλοῦται, πλὴν τοῦ ἕδος τὸ ἔδαφος, ἑδεῖται ἀντὶ τοῦ καθεδεῖται, ἕδνον. πρὸ τοῦ ε, ψιλοῦται, πλὴν τοῦ ἑέλδωρ ἡ ἐπιθυμία.

πρὸ τοῦ ζ, καὶ η, οὐχ εὕρηται, εἰ μὴ ἀπὸ κλίσεως. πρὸ τοῦ θ, ψιλοῦται ἀεί. πρὸ τοῦ ι, ψιλοῦται ἀεί. πρὸ τοῦ κ, δασύνεται, πλὴν τοῦ ἑκυρός. καὶ ἐκεχειρία. πρὸ τοῦ λ, ἢ ἑνὸς ἢ διπλοῦ ψιλοῦται, εἰ μὴ τὸ κ, ἐπάγοιτο, καὶ πλὴν τοῦ ἕλλω, ἕλλη, καὶ ἑλλήσποντος, ἕλενος, ἑλένη, ἕλος, ἕλω, ἑλίσσω, ἑλικὼν, ἕλμινς. πρὸ τοῦ μ, ψιλοῦται ἀεί. πρὸ τοῦ ν, ἢ ἑνὸς ἢ διπλοῦ, ψιλοῦται. τὸ γὰρ ἕνεκα ἀπολογητικόν ἐστι.

πρὸ τοῦ ξ, ψιλοῦται· πλὴν τὸ ἕξω, καὶ ἕξις, καὶ ἑξῆς. πρὸ τοῦ π, ψιλοῦται. πλὴν τοῦ ἕπομαι. πρὸ τοῦ ο, δασύνεται ἀεί. πρὸ τοῦ ρ, ψιλοῦται, πλὴν τοῦ ἕρκος, ἑρμῆς, ἕρση, ἕρδω. πρὸ τοῦ σ, ψιλοῦται, πλὴν τῶν ἐχόντων ἀλλὸ, μετὰ τοῦ τ, οἷον ἑστῶ.

πρὸ τοῦ τ, ψιλοῦται, πλὴν τοῦ ἕτερος, ἕτοιμος, ἑταῖρος. πρὸ τοῦ υ, ψιλοῦται ἀεί. πρὸ τοῦ φ, καὶ πρὸ τοῦ χ, ψιλοῦται, πλὴν ἑφθός. πρὸ τοῦ ψ, ἀεὶ δασύνεται. πρὸ τοῦ ω, δασύνεται, πλὴν τοῦ ἕω τὸ ὑπάρχω καὶ ἐῶ.

συνάγεται, ὅτι τὸ ε, πρὸ φωνηέντων τῶν ε, ι, υ, ψιλοῦται, πλὴν τοῦ ἑέλδωρ. πρὸ δὲ τῶν α, ο, ω, δασύνεται, πλὴν τοῦ ἔαρ, καὶ ἐάω καὶ ἐῶ. πρὸ συμφώνων τῶν θ, φ, χ, γ, μ, ν, ψιλοῦται ἀεί, πλὴν ἑφθός.

quentis ſpiritum ſumit, ut uidebam, uidebam, uiginti, uiginti ε ante α denſatur, præter ſi & ſino, ante β tenuatur, præter hebræus. ante γ tenuatur ſemper. ante δ tenuatur, præter ſolum, id eſt, ſolum, ſedebit pro ſedebit, dos. ante ε tenuatur, præter deſiderium, id eſt deſiderium. ante ζ & η non eſt repertum, niſi à declinatione. ante θ tenuatur ſemper. ante ι tenuatur ſemper. ante κ denſatur, præter ſocer & induciæ. ante λ aut unicum aut geminum tenuatur. niſi κ inſequatur, & præter græcus, belle, belleſpontus, belenus, belena, palus, trabo, uerto, belicon, tinea. ante μ tenuatur ſemper. ante ν autunicum aut geminum tenuatur. Nam ergò cauſale eſt. ante ξ tenuatur, præter babebo, & babitus & deinceps. ante π tenuatur, præter ſequor. ante ο denſatur ſemper. ante ρ tenuatur, præter uallum, mercurius, ros, facio. ante σ tenuatur, præter babentia ipſum cum τ, ut excipio conuiuio. ante τ tenuatur, præter alter, paratus, ſocius. ante υ tenuatur ſemper. ante φ & ante χ tenuatur, præter coctus. ante ψ ſemper denſatur. ante ω denſatur, præter ſum, id eſt ſum & ſino.

Colligitur quòd ε ante uocales ε, ι, α, tenuetur, præter deſiderium, ante α, ο, ω, denſetur, præter uer & ſino & ſino. ante conſonantes θ, φ, χ, γ, μ, ν, tenuetur ſemper, præter coctus.

πρὸ τοῦ ψ, δασύνεται ἀεί· ὥστε δασυνόμενα τοῦ ε, ἐν οἷς τὸ α, ἐπάγοιτο, πλὴν τοῦ ἔαρ καὶ ἐάω, ἑβραῖος, ἕδος, ἑδεῖται, ἕδνον, ἑέλδωρ· ἐν οἷς τὸ κ, ἐπάγεται, πλὴν τοῦ ἑκυρὸς, καὶ ἐκεχειρία· ἐν οἷς μετὰ τὸ λ, καὶ κ, ἐπάγεται, ἕλλω, ἕλλη, καὶ ἑλλήσποντος, ἑλένη, ἕλενος, ἕλος, ἑλίσσω, ἕλω, ἑλικὼν, ἕλμινς, ἕξω, ἕξης, ἑξῆς· ἐν οἷς τὸ ο, ἐπάγεται, ἕπομαι ἕρκος, ἑρμῆς, ἕρση, ἕρδω· ἐν οἷς τὸ ς, ἐπάγεται, ἐν οἷς τὸ ω μέγα ἐπάγεται, πλὴν τοῦ ἔω καὶ ἑῶ.

τὸ η πρὸ τοῦ α, ἀπὸ κλίσεως μόνον, ἤτοι αὐξήσεως εὕρηται· πρὸ τοῦ β, δασύνεται, εἰ μὴ ἀπὸ πλεονασμοῦ εἴη, οἷον ἠβαιόν. πρὸ τοῦ γ, δασύνεται, πλὴν τοῦ ἠγάθεος· πρὸ τοῦ δ, ψιλοῦται, πλὴν τοῦ ἡδονή· πρὸ τῶν ε, ζ, η, θ, ι, ψιλοῦται ἀεί. πρὸ τοῦ κ, δασύνεται, πλὴν τοῦ ἦκα, ἀντὶ τοῦ ἡσύχως·
πρὸ τοῦ λ, ψιλοῦται, πλὴν τοῦ ἧλος, ἥλιος· πρὸ τοῦ μ, ψιλοῦται, πλὴν τοῦ ἡμέρα. ἥμερος, ἧμισυ, ἥμων ὁ ἀκοντιστής. πρὸ τοῦ ν, ψιλοῦται, πλὴν τοῦ ἡνία.
πρὸ τοῦ ξ, οὐχ εὕρηται, εἰ μὴ ἀπὸ κλίσεως·
πρὸ τοῦ ο, καὶ πρὸ τοῦ π, ψιλοῦται, πλὴν τοῦ ἧπαρ.
πρὸ τοῦ ρ, ψιλοῦται, πλὴν τοῦ ἡρώδης, ἥρα, ἡρωδιανὸς, ἥρων ἡρακλῆς, ἡρόδοτος, ἡρόφιλος, ἥρως.
πρὸ τοῦ σ, δασύνεται ἀεί. πρὸ τοῦ τ, ψιλοῦται, πλὴν τοῦ ἡττῶμαι· πρὸ τοῦ υ, ψιλοῦται ἀεί. πρὸ τοῦ φ, ψιλοῦται, πλὴν τοῦ ἥφαιστος, καὶ ἡφαιστίων.
πρὸ τοῦ χ, ψιλοῦται ἀεί. πρὸ τοῦ ψ, οὐχ εὕρηται, εἰ μὴ ἐπ' αὐξήσεως· πρὸ τοῦ ω μεγάλου, ψιλοῦται ἀεί.

συνάγεται, ὅτι τὸ η, πρὸ πάντων τῶν φωνηέντων ψιλοῦται ἀεί. πρὸ συμφώνων, ζ, θ, χ, ψιλοῦ-

ante ψ denſetur ſemper. Quare quæ denſantur ipſius ε ſunt hæc, in quibus α inſequitur, præter uer & ſino hebręus, ſolum ſedebit, dos, deſiderium. In quibus κ inſequitur, præter ſocer & induciæ. In quibus poſt λ etiam κ inſequitur, græcus, helle helleſpontus helena helenus palus uerto traho helicon tinea habebo habitus deinceps. In quibus ο inſequitur, ſequor uallum mercurius ros facio. In quibus ς inſequitur. In quibus ω inſequitur, pręter ſum & ſino.

η ante α, à declinatione ſolum aut augmento repertum eſt. Ante β denſatur, niſi è pleonaſmo fuerit, ut paululum. Ante γ d[illegible]tur, præter diuinus. Ante δ denſatur, præter uoluptas. Ante ε, ζ, η, θ, ι, tenuatur ſemper. Ante κ denſatur, præter quietè pro quietè. Ante λ tenuatur, præter clauus ſol. Ante μ tenuatur, præter dies placidus dimidium iaculator, id eſt iaculator. Ante ν tenuatur, præter habena. Ante ξ non reperitur niſi in declinatione. Ante ο & ante π tenuatur, præter hepar. Ante ρ tenuatur, præter herodes. Iuno herodianus heron hercules herodotus hedropilus heros. Ante σ denſatur ſemper. Ante τ tenuatur, præter uincor. Ante υ tenuatur ſemper. Ante φ tenuatur, præter uulcanus & hephæſtion. Ante χ tenuatur ſemper. Ante ψ non eſt repertum, niſi in augmento. Ante ω magnum tenuetur ſemper.

Colligitur quòd η ante omnes uocales tenuetur ſemper. ante conſonantes ζ, θ, χ, te-

ται ἀεί. πρὸ τοῦ γ, σ δασύνεται ἀεί. ὥστε δασυνό-
μενα τοῦ η ἐν οἷς τὸ β, ἕπεται, εἰ μὴ ἀπὸ πλεονασμοῦ
πρόσκειται. ἐν οἷς τὸ γ, ἕπεται. ἡδὺς ἐν οἷς τὸ
κ, ἕπεται πλὴν τοῦ ἧκα ἧλος, ἥλιος ἡμέρα, ἥμερος
ἥμισυ, ἡμῶν, ἡνία ἡ παρ ἡρώδης ἡρωδιανὸς, ἥρα, ἡ-
ρῶν, ἡρακλῆς, ἥρως, ἡρόδοτος, ἡρόφιλος ἐν οἷς τὸ
σ, ἕπεται, ἡττῶμαι, ἥφαιστο, καὶ ἡφαιστίων.

τὸ ι, πρὸ τοῦ α, β, γ, ψιλοῦται ἀεί. πρὸ τοῦ δ, ψι-
λοῦται, εἰ μὴ τὸ ρ, ἐπάγοιτο, πλὴν τοῦ ἴδεις. πρὸ τοῦ
ε, ψιλοῦται, πλὴν τοῦ ἱερὸν, ἱέραξ. πρὸ τοῦ ζ, δασύ-
νεται ἀεί. πρὸ τοῦ η, ψιλοῦται, πλὴν τοῦ ἵημι.
πρὸ τοῦ θ, ψιλοῦται ἀεί. πρὸ τοῦ ι, οὐχ εὕρηται.
πρὸ τοῦ κ, ψιλοῦται. πλὴν τοῦ ἱκανὸς, ἱκετεύω, ἱκά-
νω, ἱκνοῦμαι. πρὸ τοῦ λ, ἢ ἑνὸς ἢ διπλοῦ ψι-
λοῦται, πλὴν τοῦ ἵλεως. πρὸ τοῦ μὴ φωνήεντος
μὲν ἐπιφερομένου, δασύνεται ἀεί, συμφώνου δὲ ἐπι-
φερομένου, ψιλοῦται ἀεί. πρὸ τοῦ ν, ψιλοῦται ἀεί.
πρὸ τῶν ξ, καὶ ο, ψιλοῦται ἀεί. πρὸ τοῦ π,
ἑνὸς μὲν ψιλοῦται, πλὴν τοῦ ἵπταμαι, διπλοῦ δὲ δα-
σύνεται. πρὸ τοῦ ρ, ψιλοῦται ἀεί. πρὸ τοῦ σ,
ψιλοῦται, εἰ μὴ τὸ τ, ἐπάγοιτο εἰ δὲ τὸ τ, ἐπάγοιτο,
δασύνεται, πλὴν τοῦ ἴστρος. πρὸ τῶν τ, υ,
φ, χ, ψ, ω, ψιλοῦται ἀεί.

συνάγεται, ὅτι τὸ ι, πρὸ πάντων μὲν τῶν φωνη-
έντων ψιλοῦται, πλὴν τοῦ ἱερὸν, ἱέραξ, ἵημι.
πρὸ συμφώνων τῶν β, γ, θ, ξ, τ, φ, χ, ψ, ψιλοῦται ἀεί.
πρὸ τοῦ ζ, δὲ δασύνεται ἀεί. ὥστε δασυνόμενα τοῦ
ι, ταῦτα, ἐν οἷς τῷ δ, ρ, ἕπεται, πλὴν τοῦ ἴδεις ἱε-
ρὸν, ἱέραξ. ἐν οἷς τὸ ζ, ἐπάγεται, ἵημι, ἱκανὸς,
ἱκετεύω,

nuetur ſemper. ante γ, σ, denſetur ſemper. Quare quæ denſantur ipſius ν ſunt hæc, in quibus β ſequitur, niſi à pleonaſmo adiaceat. In quibus γ inſequitur, ſuauis. In quibus κ inſequitur, præter quiete, clauus, ſol, dies, placidus, dimidium, iaculator, habena, hepar, herodes, herodianus, Iuno, heron hercules heros herodotus herophilus. In quib. σ inſequitur, uincor uulcanus hephæſtiō

I ante α, β, γ, tenuatur ſemper. ante δ tenuatur, niſi ρ inſequatur, præter ſciens. ante ε tenuatur, præter ſacellum accipiter. ante ζ denſatur ſemper. ante η tenuatur, præter mitto. ante θ tenuatur ſemper. ante ι non repertum eſt. ante κ tenuatur, præter idoneus, ſupplico uenio, uenio. ante λ aut unicum, aut geminum tenuatur, præter propitius. ante μ uocali quidem inſerta denſatur ſemper, conſonante uerò inſerta tenuatur ſemper. ante ν tenuatur ſemper. ante ξ & ο tenuatur ſemper. ante π unum quidem tenuatur, præter uolo, geminum uerò denſatur. ante ρ denſatur ſemper. ante σ tenuatur, niſi τ inſequatur, quòd ſi τ inſequatur, denſatur præter iſter ante τ, υ, φ, χ, ψ, ω tenuatur ſemper.

Colligitur quòd ι ante omnes quidem uocales tenuatur præter ſacellum, accipiter, mitto ante conſonantes β, γ, θ, ξ, τ, φ, χ, tenuetur ſemper. ante ζ uerò denſetur ſemper. Quare quæ denſantur ipſius ι hæc ſunt, in quibus δ, ρ, ſequitur, præter ſciens ſacellum, accipiter. In quibus ζ inſequitur, mitto, ido-

ἱκετεύω, ἱκάνω, ἱκνοῦμαι, ἵλεως. ἐν οἷς μὲν τοῦ μ. φωνῆεν ἐπιφέροιτο, ἵνα ἵπταμαι. ἐν οἷς π ἐπιφέρεται ἐν οἷς τὸ ς ἐπάγεται, πλὴν τοῦ ἵστρος.

τὸ ο, κατὰ πλεονασμὸν προστιθέμενον, δασύνεται οἷον ὁπῦσσω, ὁπότερον. τὸ ο, πρὸ τῶν α, β, γ, ψιλοῦται ἀεί. πρὸ τοῦ δ, ψιλοῦται, πλὴν τοῦ ὁδός. πρὸ τῶν ε, ζ, η, θ, ι, ψιλοῦται ἀεί.

πρὸ τοῦ κ, ψιλοῦται, πλὴν τῶν ὁκοῖος ὁκόσον γὰρ ἰώνων. πρὸ τοῦ λ, ψιλοῦται, πλὴν τοῦ ὅλος, ὅλμος, ὁλκή. πρὸ τοῦ μ ψιλοῦται, πλὴν τοῦ ὁμοῦ ὅμοιος, ὅμως. ὅμηρον, καὶ ὅμηρος, ὁμιχλὴ, ὁμαλὸς, ὅμιλος, πρὸ τοῦ ν, καὶ τοῦ ξ, ψιλοῦται ἀεί. πρὸ τοῦ π ψιλοῦ λοῦται πλὴν τοῦ ὅπλον. πρὸ τοῦ ρ, ψιλοῦται, πλὴν τοῦ ὁρῶ, ὅρος ὁ ὁρισμός. καὶ πλὴν ἐφ' ὧν τὸ κ, ἢ τὸ μ, μετὰ ρ, ἐπάγοιτο, ὁρμὸς, ὁρμῶ, ὁρκίζω, ὁρμαθός. πρὸ τοῦ σ, φωνήεντος μὲν ἐπιφερομένου δασύνεται, πλὴν τοῦ ὅσπρις, συμφώνου δὲ ἐπιφερομένου, ψιλοῦται. πρὸ τοῦ τ ψιλοῦται, πλὴν τοῦ ὅτι, ὅταν. πρὸ τῶν φ, χ, ψ, ψιλοῦται ἀεί. πρὸ τοῦ ο, ἢ υ, ἢ ω, οὐχ εὕρηται.

συνάγεται, ὅτι τὸ ο, πρὸ πάντων τῶν φωνηέντων ψιλοῦται. πρὸ συμφώνων τῶν β, γ, δ, θ, ν, ξ, φ, χ, ψ, ψιλοῦται, πλὴν τοῦ ὁδός. ὥστε δασυνόμενα τοῦ ο, ταῦτα, ὁδὸς οἰκεῖος, ὁκόσος, ὅλος, ὅλμος, ὁλκὴ, ὁμοῦ, ὅμοιος, ὁμῶς, ὅμηρον, ὅμηρος, ὁμιχλὴ ὅμηλος, ὁμαλὸς ὅπλον, ὁρῶ, ὅρος. ἐν οἷς μετὰ τὸ ρ, ἐπάγεται τὸ κ, ἢ τὸ μ, ἐν οἷς μετὰ τὸ σ, φωνῆεν ἐπιφέρεται, πλὴν τοῦ ὅσπρος, ὅτι, ὅταν.

τὸ υ, δασύνεται ἀεί, πλὴν τῶν αἰολικῶν. οἱ γὰρ

neus, ſupplico uenio uenio propitius. In quibus poſt μ uocalis interſeratur, ut uolo. In quibus πτ interſeratur. In quibus ϛ inſequatur, preæter Iſter.

o per pleonaſmum appoſitum, denſatur, ut quomodocunque, utrum. o ante α, β, γ, tenuatur ſemper. ante δ tenuatur, præter uia. ante ε, ζ, η, θ, ι, tenuatur ſemper. ante κ tenuatur, præter qualis, quantum enim erat. Ante λ tenuatur, præter totus, pila, attractus. ante μ tenuatur, præter ſimul ſimilis tamen pignus, & homerus, uociſeratio, planus, turba. Ante ν & ξ tenuatur ſemper. ante π tenuatur, præter arma. ante ρ tenuatur, præter uideo, definitio.i.definitio, & præter ea in quibus κ aut μ poſt ρ inſequatur, monile, irruo, iuro, ordo. ante σ, uocali quidem inſerta, denſatur, præter oſiris, conſonante uerò inſerta tenuatur. ante τ tenuatur, præter quod quando. ante φ, χ, ψ, tenuatur ſemper. ante ο & ω non repertum eſt.

Colligitur quòd o ante omnes uocales tenuetur ante conſonantes β, γ, δ, θ, ν, ξ, φ, χ, ψ, tenuetur præter uia. Quare quæ denſantur ipſius o hæc ſunt, uia, qualis, quantus, totus, pila, attractus, ſimul, ſimilis, tamen pignus homerus uociſeratio planus arma uideo definitio. In quibus poſt ρ inſequitur κ aut μ. In quibus poſt σ uocalis inſeritur, præter oſiris, quòd, quando.

υ denſatur ſemper, præter Æolica. Æoles

αἰολεῖς ἀγνοοῦσι τὴν δασεῖαν.

τὸ ω μέγα ψιλοῦται ἀεὶ, πλὴν τοῦ παρὰ τοῦ ὥρα, ὧδε ἀντὶ οὕτως ὡραικῶς. ἡ αι δίφθογγος, ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι, ψιλοῦται, εἰ μὴ τὸ μ, ἐπάγοιτο, πλὴν τοῦ αἱρῶ, αἱροῦμαι.

ἡ αυ δίφθογγος ψιλοῦται, πλὴν τοῦ αὕτη, καὶ αὑτοῦ, ἀντὶ τοῦ ἑαυτοῦ, ὡς εἴρηται πρότερον.

ἡ ει δίφθογγος ψιλοῦται, πλὴν τοῦ εἵλως, εἱλύω εἱμαρμένη, εἷμα, τὸ ἔνδυμα, εἱμὸς, εἷς εἵως, ἑρμὸς εἱρκτή.

ἡ ευ δίφθογγος ψιλοῦται, πλὴν τοῦ εὕω τὸ φωτίζω καὶ φλογίζω, εὕδω τὸ κοιμῶμαι, εὑρίσκω.

ἡ οι, δίφθογγος ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι ψιλοῦται, πλὴν οἷμος. οἶς δὲ τὸ πρόβατον, ἐκ τοῦ ὄϊς ψιλοῦται.

ἡ ου, δίφθογγος ψιλοῦται. οὕνεκα γὰρ αἰτιολογικὸν, καὶ οὗ ἄρθρον ἐστὶ καὶ ἀναφορικὸν, καὶ οὕτως δὲ ἀναφορικόν τε, καὶ ἀπὸ τῆς τούτων ἀντωνυμίας, ὥστε δασυνόμενα ἐν ταῖς διφθόγγοις.

ἡ αι, καὶ ἡ οι, ἐν τοῖς μονοσυλλάβοις εἰ μὴ ἐπίρρημα εἴη. ἔτι ἐν οἷς μὲν τὸ αι, τὸ μ, ἀπάγεται, αὕτη, αὑτοῦ. εἵλως, εἱλύω εἱμαρμένη, εἷμα, εἱμὸς, εἷς εἵως εἱρμὸς, εἱρκτὴ, εὕδω, εὕρω, εὕω, εὑρίσκω, οἷμος, οὕνεκα, οὗ.

ζητοῦντες τοίνυν περὶ τινος πότερον δασύνεται, ἢ ψιλοῦται, εἰ μὲν ὄνομα εἴη, λαμβάνομεν τὴν εὐθεῖαν. εἰ δὲ ῥῆμα, ἢ μετοχὴ, τὸ θέμα. εἰ δὲ ἄλλο τι τῶν μερῶν τοῦ λόγου, αὐτὸ ἐκεῖνο. καὶ εἰ μὲν παράγωγον, λαμβάνομεν ἐξ οὗ παράγεται, καθ' ὅ ἐστι τὸ

enim non agnoſcunt denſum ſpiritum.

ω magnum tenuatur ſemper, præter deriuata ab ho ra, ſic pro ſic expalleo. ου diphthongus in ii quæ ſunt ſuper unam ſyllabam, dictionibus tenuatur, n[s] ſi μ inſequatur, præter capio capior.

αυ diphthongus tenuatur, præter hæc, & ſuiſpſius pro ſuiipſius, ut dictum eſt prius.

ει diphthongus tenuatur, præter gentis no men tego fatum ueſtis, ideſt ueſtis, induitus, unus uſque feries carcer.

ευ diphthongus tenuatur, præter εὐω, ideſt illumi no & inflammo, dormio, ideſt dormio, reperio.

οι diphthongus in iis, quę ſunt ſuper unam ſyllabam dictionibus tenuatur, præter uia. uis uerò, i. ouis ex ouis, tenuatur.

ϰ diphthongus tenuatur, ergò enim cauſale eſt, & cuius articulus & relatiuum, & ſic & relatiuum & ab horum pronomine. Quare quæ denſantur in diphthongis hæc ſunt.

ου & οι in monoſyllabis niſi aduerbium eſſet, ad hæc in quibus poſt ου μ inſequitur, hæc ſuiipſius gentis nomen tego fatum ueſtis indutus unus uſque ſeries carcer dormio reperio illumino. reperio uia ergò cuius

Quærentes igitur de aliquo, utrum denſetur an te nuetur, ſi quidem nomen ſit, accipimus nominatiuum, ſi uerò uerbum aut participium, thema, ſi uero alia quæpiam partium orationis, ipſam illam, ſiquidem de riuatiuum accipimus ex quo deriuatur, in quo eſt ſpi

πνεῦμα εἰ δὲ σύνθετον, ὅσ' οὐ σύνθεται, καθ' ὃ δεῖ τὸ πνεῦμα· καὶ εἰ μέν τινι τῶν καθόλου κανόνων ὑποπίπτει, ἀπ' ἐκείνου τοῦτο κρίνομεν μὴ φροντίζοντες τοῦ κατὰ μέρος, εἰ δὲ μή, τότε ἀπὸ τῶν κατὰ μέρος τοῦτο κρίνομεν.

ὁριστικά. ἐνεστώς.

εἰμί, εἶς καὶ εἶ, ἐστί ἐστὸν ἐστόν, ἐσμὲν ἐστὲ εἰσί.

παρατατικός.

ἦν ἦς ἦ καὶ ἦν, ἦτον ἤτην, ἦμεν, ἦτε, ἦσαν.

μέλλων.

ἔσομαι ἔσεαι ἔσῃ, ἔσεται καὶ ἔσται ἐσόμεθον, ἔσεσθον ἔσεσθον. ἐσόμεθα, ἔσεσθε, ἔσονται.

προστακτικά. ἐνεστώς,

ἴσθι καὶ ἔσο ἔστω· ἔστον ἔστων· ἔστε ἔστωσαν.

εὐκτικά ἐνεστώς,

εἴην εἴης εἴη· εἴητον εἰήτην· εἴημεν εἴητε εἴησαν καὶ εἶεν.

μέλλων.

ἐσοίμην, ἔσοιο, ἔσοιτο· ἐσοίμεθον ἔσοισθον ἐσοίσθην ἐσοίμεθα ἔσοισθε ἔσοιντο.

ὑποτακτικά. ἐνεστώς.

ἐὰν ὦ, ἐὰν ᾖς, ἐὰν ᾖ. ἐὰν ἦτον ἦτον, ἐὰν ὦμεν ἦτε ὦσιν. ἀπαρέμφατα. ἐνεστώς.

εἶναι. μέλλων, ἔσεσθαι.

μετοχή. ἐνεστώς.

ὁ ὢν τοῦ ὄντος· ἡ οὖσα τῆς οὔσης, τὸ ὂν τοῦ ὄντος.

μέλλων.

ὁ ἐσόμενος, μένου, ἡ ἐσομένη νης· τὸ ἐσόμενον μένου.

ΤΕΛΟΣ.

ritus. Quòd ſi cõpoſitum ſit, ex quo compònitur, in quo eſt ſpiritus, & ſiquidem alicui generaliũ canonũ ſubiacet, ab illo hoc iudicamus, non morantes particulares. Quod ſi ſecus, tum a particularibus hoc iudicamus.

Indicatiua. Præſens.

Sum es & es eſt. Du. eſtis ſunt. Plu. ſumus eſtis ſunt.

Præteritum imperfectum.

Eram eras erat & erat. Du. eratis erant. Plu. eramus eratis erant.

Futurum.

Ero eris eris erit & erit. Dua. erimus eritis erunt. Plu. erimus eritis erunt.

Imperatiua. Præſens.

Sis & es eſto. Du. eſte ſint. Plu. eſte ſint.

Optatiua. Præſens.

Eſſem eſſes eſſet. D. eſſemus eſſetis eſſent. Plu. eſſemus eſſetis eſſent & eſſent.

Futurum.

Sim ſis ſit. Dual. ſimus ſitis ſint. Plur. ſimus ſitis ſint.

Subiunctiua. Præſens.

Si ſim ſi ſis ſi ſit. Dua. ſi ſitis ſint. Pl. ſi ſimus ſitis ſint.

Infinitiua. Præſens.

eſſe. Futurum. *futurum eſſe.*

Participia. Præſens.

Maſc. ens entis. Fœm. ens entis. Neu. ens antis.

Futurum.

Maſc. futurus futuri. Fœ. futura turæ. N. futurum turi.

FINIS.

Venetijs apud Ioannem Farreum, & fratres. Anno à partu Virginis.

M D X L I I.

BIBLIOTECA VITT. EMANVELE IN ROMA

Digitized by Google